Tafel XXI. ἐμβολὴ μηροῦ ἡ διὰ τοῦ ἀcκοῦ γινομένη, ἣν εἰc τὸ ἔcω μέροc ὀλίcθῃ. Reposition eines nach innen luxierten Oberschenkels. Der Patient, dessen linker Oberschenkel luxiert zu denken ist, liegt auf der rechten Seite. Sein Oberkörper ist mit drei Riemen umwunden, ein vierter Riemen prefst seine Schenkel aneinander, ein fünfter geht um die Knöchel. Zwei Ärzte üben knieend Extension und Gegenextension aus. Zwischen die Oberschenkel ist das eine Ende eines Schlauches aus Thierhaut eingeschoben, den ein dritter Arzt aufzublasen beschäftigt ist. Auf welche Art und Weise dies geschieht, ist nicht klar; anscheinend ist der Teil des Schlauches, den der Arzt in der Hand hält, als Blasebalg eingerichtet; ich vermag mir jedoch aus den dort allein sichtbaren beiden Stäben von der Konstruktion desselben kein Bild zu machen. Vielleicht giebt auch dieses Bild die ursprüngliche Darstellung nicht fehlerfrei wieder.

Tafel XXII. ἐμβολὴ μηροῦ ἡ διὰ τῆc κλίμακοc (κλημακοc) καὶ τοῦ κεραμίου γινομένη, ἣν εἰc τὸ ἔcω μέροc ὀλίcθῃ. Reposition eines nach innen luxierten Oberschenkels. Ein leiterartiges Gestell wird von einem knieenden Arzte aufrecht gehalten. Der Patient sitzt rittlings auf der obersten Sprosse; an seinen luxierten rechten Oberschenkel ist mit

Digitized by Google

einem langen Strick ein Gefäfs angebunden, das mit Wasser gefüllt zu denken ist. Dafs das linke Bein nicht, der Vorschrift gemäfs, an eine der Sprossen angebunden ist, wird auf einer Nachlässigkeit des byzantinischen Illustrators beruhen.

Tafel XXIII. ἐμβολὴ μηροῦ ἡ διὰ τοῦ στρωτῆρος (στροτῆρος) καὶ τοῦ βάρους τοῦ σκέλους γινομένη, ἣν εἰς τὸ ἔσω μέρος ὀλίσθῃ. Reposition eines nach innen luxierten Oberschenkels. An den Säulen der byzantinischen Umrahmung ist ein Querbalken (στρωτήρ) mit Stricken in der Weise festgebunden, dafs das eine Ende desselben noch ein gutes Stück nach auswärts hervorsteht. Auf diesem vorstehenden Ende sitzt rittlings der Patient, das Gesicht der Säule zugewendet, an welche er, wie es scheint, mit einem breiten Riemen angebunden ist. Der Arzt, welcher in rotem Gewand und grünlichem Überwurf hinter dem Querbalken steht, scheint den rechten Arm des Patienten ergriffen zu haben und nach unten zu ziehen, während ein knieender Gehülfe in dunkelrotem kurzen Gewand an seinem luxierten linken Schenkel ein mit Wasser gefülltes Gefäfs befestigt.

Tafel XXIV. ἡ τοῦ ὀργάνου κατασκευή· ἤτοι (εἰτοι) βάθρον τοῦ Ἱπποκράτους. Darstellung der sog. 'Bank des Hippokrates'. Ein Vergleich dieses Bildes mit den Angaben der Schrift περὶ ἄρθρων ergiebt, dafs dasselbe die Originalillustration sehr entstellt wiedergiebt. Doch kann man aus dem Fehlen der Haspeln wohl entnehmen, dafs Apollonius dieselben nicht an der Maschine selbst, sondern selbständig neben derselben angebracht wissen wollte, wofür auch die Analogie der folgenden Darstellungen spricht. Die wagerechten Streifen auf dem Brette geben die κάπετοι und die zwischen denselben stehen gelassenen Holzteile wieder; der senkrecht stehende Stab ungefähr in der Mitte soll wohl das eingelassene ξύλον, von dem Hippokrates spricht (später πριαπίσκος genannt), andeuten; der schief stehende Stab weiter unten ist vielleicht als ξύλινος μοχλός gemeint; die übrigen Stäbe sind unverständlich. Was die Farben des Bildes betrifft, so ist die um das Brett herumlaufende Leiste, sowie die sämtlichen an demselben angebrachten Stäbe hellgelb; die Streifen auf dem Brett selbst sind, von oben nach unten gezählt, folgendermafsen koloriert: 1. blau, 2. dunkelgelb, 3. blau, 4. dunkelgelb, 5. blau, 6. hellgelb, 7. dunkelgelb, 8. hellgelb, 9.—15. abwechselnd dunkel- und hellgelb.[53])

53) Die Rekonstruktion des βάθρον Ἱπποκράτους, welche Littré, Oeuvres d'Hippocrate IV, 44 gegeben hat, leidet, wie er selbst gefühlt hat (ib. 46), an einem wesentlichen Mangel. Er nimmt nämlich an, die zwei von Hippokrates vorgeschriebenen ἐντομαί seien identisch mit zwei der in der Längsrichtung laufenden κάπετοι. Bei dieser Annahme ist jedoch in dem Satze Ἔπειτα κατὰ μῆκος μὲν ἔνθεν καὶ ἔνθεν ἐντομὴν ἔχειν χρὴ (nämlich τὸ ξύλον) ὡς μὴ ὑψηλοτέρη τοῦ καιροῦ ἡ μηχάνησις ἡ' der letzte Teil nicht zu erklären. Auch der Vorschlag von Reinhold, den Littré X, pag. XII—XIV bespricht, kann nicht befriedigen. Die richtige Konstruktion hat Littré selbst gefunden, aber wieder aufgegeben. Er sagt nämlich (a. a. O. IV, 46): J'ai pensé que l'ἐντομή était une entaille faite transversalement à l'extremité de la machine de manière que l'axe du treuil fût au-dessous du niveau du banc ... La difficulté la plus considérable que je trouve à cette explication, c'est κατὰ μῆκος, qui signifie en longueur ... Cette difficulté me paraît insoluble, à moins qu'on n'entende κατὰ μῆκος comme sur la longueur. Die sprachlichen Bedenken Littrés sind unbegründet. Denn der Verfasser der Schrift περὶ ἄρθρων sagt IV, 208 von Operationen auf

Digitized by Google

Tafel XXV. ἐμβολὴ μηροῦ ἡ διὰ τῆς ὀργανικῆς κανίδος καὶ τοῦ ὀνίσκου εἴτε τοῦ ξύλου ἐνπηγνυμένου τῇ κανίδι (κανιδη) μέσον κατὰ τὸν περίναιον, ἣν εἰς τὸ ἔσω μέρος ὀλίσθη. Reposition eines nach innen luxierten Oberschenkels. Der Patient ist in Rückenlage auf eine hippokrateische Bank hingestreckt, deren aufrecht stehender Mittelpflock (πριαπίσκος) an der zerstörten Stelle in der Schamgegend ursprünglich sichtbar gewesen sein wird. Sein linkes Bein ist mit drei aschgrauen Riemen umwunden; die Fortsetzung derselben hat man sich über die Haspel geleitet zu denken, mit welcher ein knieender Arzt in kurzem, rötlichem Gewand eine Extension ausübt. Apollonius hat also nicht das Verfahren mit dem auf der Bank befestigten κλιμακτήρ darstellen lassen, sondern auf Grund der Worte (S. 23, 12 f.): 'ὥσπερ δὲ καὶ πρόσθεν ἤδη εἴρηται, πολὺ ἀπὸ ἀσθενεστέρων καταστασίων καὶ φαυλοτέρης κατασκευῆς πλείστοισιν ἐμπίπτει' eine einfachere Methode, bei der sogar nur eine einzige Haspel in Anwendung kommt, veranschaulicht.

Tafel XXVI. ἐμβολὴ μηροῦ ἡ διὰ τῆς ὀργανικῆς κανίδος καὶ τῶν ὀνίσκων καὶ τοῦ μοχλοῦ γινομένη, ἣν εἰς τὸ ἔξω μέρος ὀλίσθη. Reposition eines nach aufsen luxierten Oberschenkels. Der Patient ist in Rückenlage auf eine hippokrateische Bank hingestreckt; sein luxierter linker Oberschenkel ist mit einem kastanienbraunen Riemen umwunden, dessen eines Ende über die Brust zu der linken Haspel geleitet ist, während man das andere Ende zur rechten Haspel geführt zu denken hat. Zwei Ärzte in dunkelblauen, kurzen Gewändern üben vermittelst der Haspeln Extension und Gegenextension aus. Jenseits der Maschine stehend hat ein Arzt in rötlichem Gewand in eine der Furchen (κάπετοι) der Bank einen Hebel eingesetzt und drückt damit das ausgefallene Gelenk in die Pfanne zurück, während ein vierter Arzt, ebenfalls in rötlichem, kurzem Gewand, von aufsen einen Gegendruck auf den gesunden rechten Oberschenkel des Patienten ausübt.

Tafel XXVII. ἐμβολὴ μηροῦ ἡ διὰ τῆς ὀργανικῆς κανίδος ἤτοι (εἴτοι) ἑτέρας κανίδος κατὰ τοῦ πυγαίου τιθεμένης (τηθεμενης) καὶ τῶν ὀνίσκων γινομένη, ἣν εἰς τὸ ὄπισθεν (το ο οπισθεν) μέρος ὀλίσθη. Reposition eines nach aufsen luxierten Oberschenkels. Der Patient ist in Bauchlage auf eine hippokrateische Bank hingestreckt; sein luxierter rechter Oberschenkel ist mit Riemen umwunden. Zwei Ärzte üben Extension und Gegenextension aus; ein dritter Arzt, der mit einem gelbschwarzen Schurz bekleidet ist, übt mit einem Brett, das jenseits der Maschine in das Loch einer Wand eingesetzt zu denken ist, einen Druck auf das luxierte Gelenk aus.

Tafel XXVIII. ἐμβολὴ μηροῦ ἡ διὰ τῆς ὀργανικῆς κανίδος ἢ τῶν ὀνίσκων καὶ τῆς καθέδρας τοῦ ἰατροῦ γινομένη, ἣν εἰς τὸ ὄπισθεν μέρος ὀλίσθη. Reposition eines nach hinten luxierten Oberschenkels. Extension und Gegenextension des in Bauchlage ruhenden Patienten wie auf dem vorhergehenden Bilde; die beiden Ärzte an den Haspeln haben vio-

einem einfachen Holzblocke: καὶ γὰρ ἂν κατατείνων κατὰ μῆκος μοῦνον ἔνθεν καὶ ἔνθεν οὕτω καὶ ἄλλην ἀνάγκην οὐδεμίην προστιθεὶς ὅμως κατατείνειεν ἂν τις, gebraucht also κατὰ μῆκος genau in dem geforderten Sinne: sur la longueur; dagegen sagt er IV, 184, 14 ἐπὶ μῆκος für 'in der Längenrichtung'.

Digitized by Google

lette, kurze Gewänder. Ein dritter Arzt sitzt auf dem Rücken des Patienten und drückt mit der linken Hand auf das ausgefallene Gelenk.

Tafel XXIX. ἐμβολὴ μηροῦ ἡ διὰ τῆς ὀργανικῆς κανίδος ἡ τῶν ὀνίσκων τε καὶ τοῦ θέναρος τοῦ ἰατροῦ γινομένη, ἣν εἰς τὸ ἔμπρὸς μέρος ὀλίσθῃ. Reposition eines nach vorn luxierten Oberschenkels. Der Patient ruht in Rückenlage auf der Bank; Extension und Gegenextension durch zwei Ärzte wie auf den vorhergehenden Bildern. Ein dritter Arzt tritt jenseits der Maschine heran und drückt, indem er seine beiden Hände übereinander legt, auf das luxierte Gelenk.

Tafel XXX. ἐμβολὴ μηροῦ ἡ διὰ τοῦ κρεμασμοῦ ἐπὶ κεφαλὴν (κεφαλης) καὶ τῷ πήχει τοῦ ἰατροῦ κατὰ τὸ μέσον τοῦ περινάιου καὶ τοῦ ἱεροῦ ὀστοῦ γινομένη, ἣν εἰς τὸ ἔμπρὸς μέρος ὀλίσθῃ. Reposition eines nach vorn luxierten Oberschenkels. Der Patient ist an den Füfsen aufgehängt. Der Arzt trägt ein kurzes dunkelrotes Gewand mit tief dunkelrotem Saum und weifsen Verzierungen, und einen Mantel von hellerem Rot; er führt stehend die Operation aus, deren Methode bei der starken Zerstörung des Bildes nicht mehr erkennbar ist. Nach der Vorschrift des Hippokrates mufs er den einen Vorderarm zwischen After und Scham des Patienten eingesetzt und, wahrscheinlich unter Beihülfe des andern Armes, einen Druck auf das luxierte Gelenk ausgeübt haben.

Zum Schlufs mag noch darauf hingewiesen werden, dafs sich in der Handschrift Nr. 3632 der Bologneser Universitätsbibliothek farbige Nachbildungen fast aller Apolloniusillustrationen des cod. Laur. LXXIV, 7 finden.[54]) M. Wellmann, der dieselben auf meine Bitte angesehen hat, teilt mir Folgendes darüber mit: 'Die Darstellungen chirurgischer Operationen stehen fol. 419^{r}—434^{r}. Es sind kolorierte Bilder wie die des cod. Laur., nur viel roher ausgeführt; sie stehen in derselben Umrahmung wie die des cod. Laur.: unter einem von zwei Säulen getragenen Bogen mit zurückgeschlagenen Vorhängen. Die Darstellungen sind meist 20 cm breit und 24 cm hoch, der Abstand der Säulen beträgt 16¼ cm und mehr. Die Mafse sind nicht ganz konstant.' Hieraus geht hervor, dafs die Kopieen in der Gröfse der Originale ausgeführt sind. Da es möglich ist, dafs einzelne Bilder der Florentiner Hs. zu der Zeit, als diese Kopieen angefertigt wurden, besser und vollständiger erhalten gewesen sind als heutzutage, so können einige der Nachbildungen einen gewissen Wert haben. Es ist deshalb zu wünschen, dafs dieselben einmal mit den Tafeln dieser Ausgabe genau verglichen werden. Die Handschrift wird von Olivieri und Wellmann ins

54) Vgl. A. Olivieri, Codices Graeci Bononienses (Studi Italiani di filologia classica III, S. 455 f.). Das Bild auf fol. 433^{v} dieser Hs., das keine Beischrift trägt, ist vermutlich eine Kopie von Tafel I oder II oder X oder XXIV der vorliegenden Publikation, denn nur die vier auf diesen Tafeln stehenden Beischriften fehlen in dem Verzeichnis von Olivieri. Die drei übrig bleibenden Illustrationen der Florentiner Hs. scheinen überhaupt nicht kopiert worden zu sein. Die von der Ordnung des cod. Laur. abweichende Reihenfolge dieser Bilder, in der man kein Princip entdecken kann, beruht wohl nur auf Irrtümern des Buchbinders, der anscheinend die Blattlagen vertauscht hat.

Digitized by Google

15. Jahrhundert gesetzt; da jedoch der cod. Laur. erst 1492 nach Italien gekommen ist, so ist es von vornherein wahrscheinlich, dafs diese Kopieen der Bilder desselben erst im 16. Jahrhundert gemacht sind.

Die vorliegende Publikation ist durch die Unterstützung, die mir von verschiedenen Seiten zu Teil geworden ist, sehr gefördert worden. Ich sage vor Allem, zugleich im Namen der Verlagsbuchhandlung, der Königlichen Akademie der Wissenschaften in Berlin ehrerbietigen Dank dafür, dafs sie durch Bewilligung der zur Herstellung der Tafeln erforderlichen Summe die Publikation der Illustrationen ermöglicht hat. Der frühere Direktor der Biblioteca Laurenziana in Florenz, Baron del Podestà, hat mir seiner Zeit mit der gröfsten Liebenswürdigkeit die Erlaubnis gegeben, photographische Aufnahmen der Illustrationen zu Apollonius und Soran machen zu lassen. Meinem Vater und meinem Freunde August Brinkmann bin ich vornehmlich für ihre Beiträge zur Herstellung des Textes zu herzlichem Dank verpflichtet; ihre Ratschläge sind aber auch den vorstehenden Darlegungen an vielen Stellen zu Gute gekommen. Den Hinweis auf die Bologneser Hs. verdanke ich Herrn Professor Elter in Bonn. Max Wellmann und Hans Graeven haben mich durch gelegentliche Auskunft unterstützt.

Der Text des Kommentars von Apollonius ist zum ersten Mal von Friedrich Reinhold Dietz im ersten Band der Scholia in Hippocratem et Galenum (Königsberg 1834), p. 1—50 veröffentlicht worden. Den gröfsten Teil dieser Ausgabe (bis S. 29, 6 meiner Ausgabe) hat Carl Gottlob Kühn in 14 Leipziger Programmen (1837—1840) mit einer lateinischen Übersetzung von Fickel wieder abdrucken lassen, ohne zur Herstellung des Textes und zur sachlichen Erläuterung etwas beizutragen.

Zum Verständnis der folgenden neuen Bearbeitung von Apollonius' Kommentar sind einige Vorbemerkungen erforderlich. Was zunächst den Text des Apollonius selbst mit Ausschlufs der Hippokratescitate betrifft, so habe ich in den Anmerkungen die Lesungen des cod. Laur. LXXIV, 7 ohne besondere Bezeichnung gegeben und dieselben von weiteren Bemerkungen durch Doppelpunkt geschieden. Die Vorschläge von Dietz sind mit Dtz bezeichnet. Die Hippokratescitate habe ich etwas anders behandelt. An sich wäre jedenfalls das Wünschenswerteste gewesen, diese Citate genau nach der Handschrift abzudrucken, weil eine sichere Entscheidung über das, was Apollonius gelesen hat, häufig nicht möglich ist. Indem ich mich aber durch praktische Rücksichten zu einem etwas abweichenden Verfahren genötigt sah, glaubte ich der Ansicht vorbeugen zu müssen, dafs die im Text gebotene Gestaltung der Hippokratesstellen eine definitive sein solle. Ich habe daher bei den Hippokratescitaten nicht hervorgehoben, ob die im Text stehende, von der Lesung der Hs. abweichende Form von Dietz oder von mir eingeführt ist. Die vollständige Mitteilung der Varianten wird im vorliegenden Falle, wo nur eine Hs. in Be-

Digitized by Google

tracht kommt, nicht als lästig empfunden werden. In eckige Klammern [ ] sind getilgte, in spitze Klammern ⟨ ⟩ ergänzte Worte und Buchstaben eingeschlossen; vor den Hippokratescitaten stehen in Parenthesen ( ) Verweisungen auf die Textausgabe von Littré. Ein vollständiges Wortverzeichnis denke ich einem Abdruck des Textes, welcher später in der Bibliotheca Teubneriana erscheinen soll, beizufügen.

Eine Untersuchung des Wertes der von Apollonius gebotenen Hippokrates-Überlieferung bleibt Kühlewein vorbehalten, welcher eine Ausgabe der hippokrateischen Schriften chirurgischen Inhalts vorbereitet. Ich beschränke mich hier darauf, hervorzuheben, dafs Apollonius am Schlufs der Schrift περὶ ἄρθρων ein kurzes Summarium derselben gelesen hat, welches er dem Anschein nach vollständig mitteilt (S. 32, 23 ff.). Dasselbe deckt sich nur zum Teil mit den entsprechenden Abschnitten des μοχλικόν, einer Schrift der hippokrateischen Sammlung, in der Auszüge aus περὶ ἁρμῶν und περὶ ἄρθρων zusammengearbeitet sind.

Digitized by Google

ΑΠΟΛΛΩΝΙΟΥ ΚΙΤΙΕΩΣ

ΤΗΣ ΠΕΡΙ ΑΡΘΡΩΝ ΠΡΑΓΜΑΤΕΙΑΣ

⟨ΤΟ ΠΡΩΤΟΝ⟩

Θεωρῶ⟨ν⟩ φιλιάτρως διακείμενόν σε, βασιλεῦ Πτολεμαῖε, καὶ ἡμᾶς δὲ σὺ ὁρῶν προθύμως τὰ ὑπό σου προσταχθέντα διαπραττομένους, τῶν ὑπὸ Ἱπποκράτους τοῦ θειοτάτου, ⟨τοῦ⟩ συγγράψαντος περὶ ὀργάνων, εἰς ἀνθρώπων βοήθειαν ἐπινενοημένων μεταλαμβάνειν καλῶς ἔχειν ἐνόμιζον τὰ περὶ ἐξαρθρήσεων αὐτῷ συγγραφέντα, δεόντως ἐπιλαβὼν καὶ τὰ περὶ ὤμου καταρτισμοῦ, ὃ κατὰ τὸ παρὸν ἐπέταξας μεταδοῦναί σοι. ἐπεὶ γὰρ ἔνιοι δι' ἀπειρίαν τινῶν ἠχρειώθησαν, οἳ δὲ καὶ πρὸς πολλῶν χρείας εὔθετοι καθεστῶτες ἐνεποδίσθησαν τῷ ὄκνῳ ἑαυτῶν διερμηνεῦσαί σοι, τινῶν δὲ οὐδὲ παραχρῆμα κατανοησάντων ἢ συλλογισαμένων τὴν περὶ τῶν ἄρθρων ἔκπτωσίν τε καὶ παράρθρησιν, ⟨ὃ⟩ καὶ παρέλιπον τὴν διὰ τῆς ὀργανικῆς ὕλης ἔντεχνον ἁρμονίαν, τῆς τε κατὰ παλαίστραν γιγνομένης ἀρθρεμβολήσεως δημώδως πραττομένης, μηδὲ ἓν σε τῶν τοιούτων διαλανθανέτω. ἵνα δὲ πάνυ εὐπαρακολούθητά σοι τὰ [παρά τ'ανέρος] κατὰ μέρος γένηται, πρότερον τὰς τοῦ Ἱπποκράτους λέξεις ἐκθήσομαι· ⟨....⟩ ἑτοιμοτέρους τοὺς τρόπους τῶν ἐμβολῶν ὑποτάξομεν, οἷόν τινα ἔραν⟨ον⟩ ἀπ' αὐτῶν τῶν ἔργων ⟨....⟩ διὰ τῆς τῶν συμπαραλαμβανομένων ἀνδρῶν ὑπηρεσίας γίνονται· ὧν τινὰς μὲν καὶ αὐτὸς κατήρτικα, τινὰς δὲ καὶ Ζωπύρῳ παρηδρευκὼς ἐν Ἀλεξανδρείᾳ τεθεώρηκα. ὅτι δὲ ὁ ῥηθεὶς ἀνὴρ ἐπί τε τῶν καταγμάτων καὶ ἐπὶ τῆς τῶν ἐξαρθρήσεων χειρουργίας κατὰ τὸ πλεῖστον Ἱπποκράτει κατακολουθῶν ἐθεράπευεν, μαρτυρήσειεν ἂν ἡμῖν Ποσειδώνιος τῷ αὐτῷ συνδιατετριφὼς ἰατρῷ.

Ἐνῆρκται τοίνυν ὁ Ἱπποκράτης τοῦ περὶ ἄρθρων βιβλίου τὸν τρόπον τοῦτον (IV 78 L)· ὤμου δὲ ἄρθρον ἕνα τρό⟨πον⟩ οἶδα ὀλισθάνον[τα] τὸν εἰς τὴν μασχάλην· ἄνω δὲ οὔπω εἶδον οὐδὲ εἰς τὸ ἔξω. ἔξῆς δὲ ἐπὶ ποσὸν περί τινων διελθὼν οὕτως διασαφεῖ

---

4 θεωρῶ: corr. Cocchi 6 ἐπινενοημενην: corr. Dtz μεταλαμβάνειν: cf. ind. 7 δεόντος: corr. Dtz 8 ὃ: f. ἃ vel ὧν 9 ἠχριώθησαν: corr. Dtz πολλῶν: f. πόνων 10 συλλογησαμένων: corr. Dtz π. τῶν ἄρθρων: f. π. τὰ ἄρθρα; sed cf. p. 8, 20 11 ⟨ὃ⟩ (qua de causa) inserui coll. p. 24, 31 13 παρά τ'ανέρος seclusi ex dittographia nata; παρὰ τάνδρὸς Dtz 14 εκθησωμαι: corr. Dtz ⟨εἶτα δι' ὑποδειγμάτων⟩ suppl. Brinkmann 15 ἐμβολαίων ὑποτάξαμεν: correxi; ἐμβολῶν ὑπετάξαμεν Dtz ἔραν ὑπ': ὑποταξάμενος οἷόν τινα ἔρανον ἀπ' αὐτῶν τ. ἐ. ὡς διὰ Cocchi ἔργων διὰ: f. ⟨αἵ⟩ διὰ 16 συμπεριλαμβανομενων: correxi 17 f. ⟨τῆς⟩ τῶν 19 ποσιδώνιος: corr. Dtz 19. 20 ιατρῶ ὃν· Ἦρκται: correxi 21 τρό (in fine versus) οἶδα ολισθανοντα τον

Digitized by Google

(IV 80 L)· εὐπαίδευτον δέ ἐστι τὸ εἰδέναι πάντας τοὺς τρόπους τῶν ἐμβολέων, οἷς ἰητροὶ ἐμβάλλουσι καὶ ὡς αὐτοῖς τοῖς τρόποις τούτοις κάλλιστα ἄν τις χρέοιτο. χρῆσθαι δὲ χρὴ τῷ κρατίστῳ τῶν τρόπων, ἣν τὴν ἰσχυροτάτην ἀνάγκην ὁρᾷς. κράτιστος δὲ ὁ[ς] ὕστατος γεγραψόμενος. πάντας δὲ τοὺς ἐφεξῆς καταρτισμοὺς τῆς εἰς τὸ κάτω τοῦ ὤμου γινομένης ἐξαρθρήσεως διασεσάφηκεν, ὧν πρῶτον τὸν δι' αὐτῶν τῶν ἰδιωτῶν ἐπιτελούμενον οὕτως κατακεχώρικεν (IV 80 sq. L)· εἰ μὲν οὖν πυκνὰ ἐκπίπτει, ἱκανοὶ ὡς ἐπὶ πολὺ αὐτοὶ ἑαυτοῖς εἰσιν ἐμβάλλειν. τισὶν γὰρ φύσει τὸ τοῦ ὤμου ἄρθρον, καθάπερ ἐκτέθειται, συνεχῶς ἐκπίπτει[ν] χωρὶς τῶν ἔξωθεν αἰτιῶν, οἵτινες ῥᾳδίως τὴν ἀποκατάστασιν τοῦ ἄρθρου συνήθως δι' ἑαυτῶν ἐπιτελοῦσιν. ὃν τρόπον δὲ ἐπὶ ⟨τὸ πολὺ⟩ τὸν καταρτισμὸν ποιοῦνται, [καὶ] διὰ τούτων τὰ ἑξῆς δηλοῖ (IV 82 L)· ἐνθέντες γὰρ τῆς ἑτέρης χειρὸς τοὺς κονδύλους εἰς τὴν μασχάλην ἀναγκάζουσιν ἄνω τὸ ἄρθρον· τὸν δὲ ἀγκῶνα παράγουσιν ἀεὶ παρὰ τὸ στῆθος. ταύτην μὲν οὖν τὴν ἐμβολὴν οὐκ ἀναγκαῖον ἐνόμιζον εἶναι διὰ ζωγραφίας ὑποδεικνύναι ὃν τρόπον γίνοιτο ὑπὸ αὐτῶν τῶν πεπονθότων [ὑπογράφειν σοι], μᾶλλον δὲ τὰς ἐχομένως διασαφουμένας ⟨ὑπογράφειν σοι⟩, ὧν οὕτως ἐνῆρκται (IV 82 L)· τὸν αὐτὸν δὲ τρόπον τοῦτον καὶ ὁ ἰατρὸς ἂν ἐμβάλλοι, εἰ αὐτὸς μὲν ὑπὸ τὴν μασχάλην ἐσωτέρω τοῦ ἄρθρου τοῦ ἐκπεπτωκότος ὑποβάλλοι τοὺς δακτύλους, ἀπαναγκάζοι δὲ ἀπὸ τῶν πλευρέων ἐπιβάλλων τὴν ἑαυτοῦ χεῖρα ἐπὶ τὸ ἀκρώμιον ἀντερείσιος [δὲ] ἕνεκα, τοῖς δὲ γούνασι παρὰ τὸν ἀγκῶνα τὸν βραχίονα ἐμβάλλων ἀντωθέοι πρὸς τὰς πλευράς. συμφέρει δὲ κρατερὰς τὰς χεῖρας ἔχειν τὸν ἐμβάλλοντα, ⟨ἢ⟩ εἰ αὐτὸς μὲν τῇσι χερσὶν καὶ τῇ κεφαλῇ οὕτως ποιοίη, ἄλλος δέ τις τὸν ἀγκῶνα παράγοι[το] παρὰ τὸ στῆθος. ὁ δὲ κατὰ μέρος χειρισμός, ὃν τρόπον ὑποτετάχαμεν, οὕτω⟨ς⟩ ἂν ἐπιτελοῖτο· τοὺς δὲ ἑξῆς τρόπους τῶν ἐμβολῶν ⟨οὐ⟩ δι' ὑπομνημάτων, ζωγραφικῆς δὲ σκιαγραφίας τῶν κατὰ μέρος ἐξαρθρήσεων παραγωγῆς τε τῶν ἄρθρων ὀφθαλμοφανῶς τὴν θέαν αὐτῶν παρασχησόμεθά σοι.

(Tabula I)

Πρῶτον μὲν οὖν ἐμβολῆς τρόπον τοιοῦτόν τινα γινόμενον ὑπογέγραφεν, ἐάν τε καὶ ἐπὶ τῶν συνήθως ἐξαρθρούντων ἐάν τε καὶ ἐπὶ τῶν πρώτως τοῦτο παθόντων ἰατροῦ χρεία τις ᾖ· δεύτερον δὲ τοῦτον κατακεχώρικεν (IV 82 L)· ἔστι δὲ ἐμβολὴ ὤμου καὶ ἐς τὸ ὀπίσω ὑπερβάλλοντα τὸν πῆχυν ἐπὶ τὴν ῥάχιν, ἔπειτα τῇ μὲν ἑτέρῃ χειρὶ ἀνακλᾶν ἐς τὸ ἄνω τοῦ ἀγκῶνος ἐχόμενον, τῇ δ' ἑτέρῃ παρὰ τὸ ἄρθρον ὄπισθεν ἐρείδειν. ἐφ' ἑκατέρων δὲ τῶν προκειμένων καταρτισμῶν ἐφέστακεν, ὅτι κατάτασιν οὐδ' ἥντιν' οὖν ἔχοντες τινῶν ἐξαρθρήσεων κρατοῦσιν, ἐπεί γε ἐν τοῖς περὶ ἀγμῶν τοῦ κατὰ φύσιν ἔχεσθαι διείληφεν τὴν ἐπὶ τῶν τοιούτων γινομένην εἰς τὸ εὐθὺ τάσιν. ἐναρχόμενος δὲ τοῦ βιβλίου οὕτως διασεσάφηκεν (III 412 L)· τῶν ἐκπτωσίων τε καὶ κατηγμάτων ὡς ἰθύτατα τὰς κατατάσιας ποιεῖσθαι· αὕτη γὰρ ἡ δικαιοτάτη φύσις. οὐ μὴν ἀλλὰ ποτὲ

4 ὃς ὕστατος ἑαυτοῖς; ι in ras. 5 ἐκ τοῦ κάτω: correxi 7 ἐκπίπτοι ἑαυτοῖς; ι in rasura 8 ἐκπίπτειν: corr. Dtz 10 ⟨τὸ πολὺ⟩ addidi [καὶ] delevi 14 ὑπογράφειν σοι transposui; ὑπογράφων Dtz 18 χεῖρα: κεφαλὴν scripsit Hippocrates ἕνεκα τοις δετῶ ἄνω παρα 21 οὕτω: correxi 23 ἐμβολέων: correxi; οὐ addidi coll. p. 4, 13 29 ἐμβολῆς 30 ῥάχην ἀνακλανέσθω ἄνω τοῦ ἀγκόνος 34 εἴθυ 35 ἐκπτόσιων ἠθύτατα

Digitized by Google

τεθεωρηκὼς ἐπὶ τῶν ῥᾳδίως δυναμένων ὦμον ἀποκαθίστασθαι τὴν ἔνθεσιν χωρὶς κατατάσεως ὃν τρόπον προδιηρίθμηται γεγενημένην οὕτως ταῖς προκειμέναις ἐμβολαῖς ἐν τῷ περὶ ἄρθρων ἐπήνεγκεν (IV 82 L)· αὕτη ἡ ἐμβολὴ καὶ ἡ πρόσθεν εἰρημένη οὐ κατὰ φύσιν ἐοῦσαι ὅμως ἀμφισφάλλουσαι τὸ ἄρθρον ἀναγκάζουσιν ἐμπίπτειν. σπουδῇ μὲν οὕτω ⟨.....⟩ κωλύει τὴν τινῶν περὶ τὰ ὄργανα ἀπειρίαν, μάλιστα τὴν τῶν Ἡροφιλείων ἀχειρίαν ἐνδείξασθαι, οἵτινες τὴν ἐπὶ τῶν πραγμάτων γυμνασίαν ἀπολελυμένοι, ψιλῶς δ' αὐτῷ τῷ λόγῳ προσέχοντες διεσφάλησαν. Βακχεῖος τοίνυν ἐπιβαλ[λ]όμενος τὰς Ἱπποκρατείους λέξεις ἐξηγήσασθαι καὶ μὴ δυνηθεὶς νοῆσαι, τί ποτε ἐστιν τὸ ἀμφισφάλλουσαι τὸ ἄρθρον, περιβάλλουσαι ⟨ἐπεξηγήσατο⟩, ἐπείπερ εὔγνωστον ὑπῆρχεν αὐτῷ διὰ πλειόνων, ὅτι παρὰ τῷ ἰατρῷ τὸ ἀμφί περί σημαίνει. πῶς δ' οὐκ ἄν τις εἴπειεν αὐτὸν ὑπ' ἀπειρίας συνεσχημένον καὶ τὴν τῶν ἰατρῶν καὶ τὴν τῶν φιλομαθούντων διεστροφέναι διάνοιαν; ἀπὸ γὰρ τοῦ σφάλλειν, καθάπερ καὶ ἐν παλαιστρικῇ τὸ περισφάλλειν, ⟨τὸ ἀμφισφάλλειν⟩ ἐν τοῖς προκειμένοις ἐντέτακται τῷ τὸ ἄρθρον διά τινος αἰφνιδίου περὶ τὸν τόπον αἰκισμοῦ περιορισθὲν εἰς τὸ κατὰ φύσιν ἀποχωρεῖν ἀναγκάζεσθαι. οὐ κατὰ φύσιν δ' οἴεται εἶναι τὰς προκειμένας ἐμβολὰς διὰ τὸ μὴ μετὰ κατατάσεως αὐτὰς γίνεσθαι. ὅτι δὲ οὐ περιβάλλειν τὸ ἄρθρον, ἀλλὰ περισφάλλειν λεκτέον κατὰ τὸν ἰατρὸν καὶ διότι τὸν τοιοῦτον τρόπον οἴεται παραίτιόν ποτε καταρτισμοῦ γίνεσθαι, φανερὸν ἐξ ὧν ἐν τοῖς αὐτοῖς οὕτως διασαφεῖ (IV 136 L, cf. 358)· τῶν δὲ ἐμβολέων αἱ μὲν ἐξ ὑπεραιωρήσεως ἐμβάλλονται, αἱ δὲ ἐκ κατατάσιος, αἱ δὲ ἐκ περισφάλσιος. κέχρηται δὲ τῷ παραπλησίῳ τῆς ἑρμηνείας τρόπῳ διασαφῶν ἐνίοις οὕτως (IV 88 L)· περὶ γὰρ τὸ ὑπεροειδὲς ὅμως ἦν καὶ κατὰ μὲν τὴν κλῆσιν περισφάλλεσθαι τὸ σῶμα κίνδυνος ⟨ἢ τῇ⟩ ἢ τῇ. ἔτι δὲ καὶ περὶ μηροῦ καταρτισμοῦ μνείαν ποιούμενος οὕτως δι⟨ας⟩εσάφηκεν (IV 292 L)· πολλοῖς γὰρ συγκάμψασιν τὸ σκέλος κατὰ τὸ ἄρθρον ἐνέπεσεν ἤδη ἀμφίσφαλσιν ποιησάμενον. τὰ μὲν οὖν πρὸς Βακχεῖον ἐπὶ τοσοῦτον εἰρήσθω· τὴν δὲ δευτέραν ἐμβολὴν ὃν τρόπον ὑπογέγραπται μεθοδευτέον.

(Tabvla II)

Τρίτον δὲ ἐμβολῆς τρόπον ἔγχειρον τῶν κατὰ τὸν ὦμον ἐκπτώσεων εἰκότως ὑπογέγραφεν (IV 82 L)· οἱ δὲ τὰς ἐμβολὰς ἐρρωμένως ἐμβάλλειν εἰωθότες εὐθέως καταναγκάζουσι. χρὴ γὰρ τόν τε ἄνθρωπον χαμαὶ κατατεῖναι ὕπτιον, τόν τε ἐμβάλλοντα χαμαὶ ἵζεσθαι ἐφ' ὁκότερα ἂν τὸ ἄρθρον ἐκπεπτώκῃ, ἔπειτα λαβόμενον ταῖς χερσὶ τῆς χειρὸς τῆς σιναρῆς κατατείνειν, τῇ δὲ πτέρνῃ εἰς τὴν μασχάλην ἐμβάλλοντα ἀντωθεῖν τῇ μὲν δεξιᾷ ἐς τὴν δεξιήν, τῇ δὲ ἀριστερᾷ ἐς τὴν ἀριστερήν. δεῖ δὲ εἰς τὸ κοῖλον τῆς μασχάλης ἐνθεῖναι στρογγύλον τι έναρ-

1 ρηιδίως: corr. Dtz ὦμον: f. ὤμων 4 lacunam indicavi; f. ⟨.... οὐδέν⟩ κωλύει 5 προφιλιων: corr. Dtz 6 αὐτῷ τῷ μοτῷ: correxi 7 βάκχιος: corr. Dtz ἐπιβαλλόμενος: correxi ἱπποκρατίους: corr. Dtz 8 περῑβάλλουσαι (sic) 9 ⟨ἐπεξηγήσατο⟩ addidi παρὰ τὸ: corr. Dtz ἀμ̄φὶ πε̄ρὶ ειποιεν: correxi 12 τῶ περισφάλλειν: corr. Dtz; supplevit R. Schoene τῶ: 'fort. τό' Dtz; 13 οἰκισμοῦ: correxi 16 καὶ διά τί: correxi 17 ὑπερεωρησεως 19 ἐνίοις: f. ἐν τοῖς ⟨αὐτοῖς⟩ 20 scrib. καὶ καταπεπήγῃ περισφ. κτέ. cf. p. 5, 19. κλῆσιν unde natum sit nescio κινδυνος εἴη ἔτι δὲ καὶ 21 χρείαν π.: corr. Brinkmann διεσάφηκεν: correxi 22 ἀμφισφάλσω ποιησαμένω 23 βάκχιον: corr. Dtz 26 εἰκότως cf. ἀξίως p. 4, 17 30 ἑκάτερα ἐκπεπτώκει 31 χερσὶ τῆς χειρὸς (sic) 33 ἐναρμόσων

Digitized by Google

μόσον· ἐπιτηδειόταται δὲ πάνυ αἱ μικκαὶ σφαῖραι αἱ σκληραί, οἷον ἐκ τῶν πολλῶν σκυτέων ῥάπτονται. ἔπειτεν περὶ τοῦ κατὰ τὴν μασχάλην γινομένου διὰ τὴν κατάτασιν κοιλώματος ὑποδείξας ἑξῆς φησίν (IV 84 L)· χρὴ δέ τινα ἐπὶ θάτερα τοῦ κατατεινομένου καθήμενον κατέχειν ἐπὶ τὸν ὑγιέα ὦμον, ὡς μὴ περιέλκηται τὸ σῶμα τῆς χειρὸς τῆς σιναρῆς ἐπὶ θάτερα τεινομένης· ἔπειτα ἱμάντος μαλθακοῦ πλάτος ἔχοντος ἱκανόν, ὅταν ἡ σφαῖρα ἐντεθῇ ἐς τὴν μασχάλην, περὶ τὴν σφαῖραν περιβεβλημένου τοῦ ἱμάντος καὶ κατέχοντος, λαβόμενον ἀμφοτέρων τῶν ἀρχῶν τοῦ ἱμάντος ἀντικατατείνειν τινὰ ὑπὲρ κεφαλῆς τοῦ κατατεινομένου καθήμενον τῷ ποδὶ προσβάντα τοῦ ἀκρωμίου πρὸς τὸ ὀστέον. ἡ δὲ σφαῖρα ὡς ἐσωτάτω καὶ ὡς μάλιστα πρὸς τῶν πλευρῶν κείσθω καὶ μὴ ἐπὶ τῇ κεφαλῇ τοῦ βραχίονος. οὐδεμία δὲ ἐπὶ τούτων ἐστὶ χρεία περιεργαζόμενον ἐξηγεῖσθαι τὰ κατὰ μέρος ἐν τῷ χειρισμῷ πρασσόμενα· σαφέστερον γὰρ αὐτὸς ὁ ἰατρὸς ἐν τούτοις ἕκαστα ⟨.....⟩ καὶ ὃν τρόπον χρὴ γινώσκειν. διὸ καὶ μηθεὶς ἡμᾶς ἀργότερον ἱσταμένους περικάμπτειν ὑπολάβῃ τὴν μετὰ τὰς λέξεις διήγησιν, ἀλλὰ τὸ διλογεῖν ἐργῶδες εἶναι νομίζομεν. ὃν τρόπον μὲν οὖν δεῖ τὸν καταρτισμὸν τοῦ ἄρθρου πτέρνῃ ποιεῖσθαι, προσυποτετάχαμεν.

(Tabvla III)

Ἀξίως δὲ ταύτην τὴν ἐμβολὴν ὑπογέγραφεν (IV 84sq. L)· ἔστιν δὲ καὶ ἄλλη ἐμβολή, ὥσπερ κατωμίζουσιν ἐς ὀρθόν. μείζω μέντοι χρὴ εἶναι τὸν κατωμίζοντα, διαλαβόντα δὲ τὴν χεῖρα ὑποθεῖναι τὸν ὦμον τὸν ἑωυτοῦ ὑπὸ τὴν μασχάλην ὀξὺν κἄπειτα ὑποστρέψαι, ὡς περ⟨ι⟩ίζηται ἕδρῃ, οὕτως στοχασάμενον ὅπως [δὲ] ἀμφὶ τὸν ὦμον τὸν ἑωυτοῦ κρεμᾷ τὸν ἄνθρωπον κατὰ τὴν μασχάλην. αὐτός τε ἑωυτὸν ὑψηλότερον ἐπὶ τοῦτον τὸν ὦμον ποιείτω ἢ ἐπὶ τὸν ἕτερον· τοῦ ⟨δὲ⟩ κρεμαμένου τὸν βραχίονα πρὸς τὸ ἑωυτοῦ στῆθος προσαναγκαζέτω ὡς μάλιστα. ἐν τούτῳ δὲ τῷ σχήματι ἀνασειέτω, ὅταν μετεωρίσῃ τὸν ἄνθρωπον, ὡς ἀντιρρέπῃ τὸ ἄλλο σῶμα αὐτῷ ἀντίον τοῦ βραχίονος τοῦ κατεχομένου. ἢν δὲ ἄγαν κοῦφος ᾖ ὁ ἄνθρωπος, καὶ προσεκκρεμασθήτω τις ὄπισθεν κοῦφος παῖς. δεῖ δὲ τὸν καταρτισμὸν οὕτως ποιεῖσθαι παλαιστρικώτερον ὄντα καθάπερ ὑπογεγράφαμεν.

(Tabvla IV)

Πᾶσιν δὲ τοῖς προειρημένοις ὁ Ἱπποκράτης οὕτως ἐπεφώνησεν (IV 86 L)· αὗται αἱ ἐμβολαὶ πᾶσαι κατὰ παλαίστρην εὔχρηστοί εἰσιν, ὅτι οὐδὲν ἀλλοίων ἁρμένων δέονται ἐπεισενεχθῆναι· χρήσαιτο δὲ ἄν τις καὶ ἄλλοθι. οὐ γὰρ μόνον ἐάν τι τοιοῦτον ἐν ταῖς κατὰ παλαίστραν γυμνασίαις συμβῇ, χρηστέον τοῖς προδιηρ⟨ιθμ⟩ημένοις ἐκ τοῦ καιροῦ καταρτισμοῖς, ἀλλὰ καὶ ἐὰν ἐν ἄλλοις τόποις ἀπολειφθεῖς⟨ιν⟩ ἐπακολουθήσῃ μηδε-

1 μικκαὶ (sic) 5 σηναρης 9 πρὸς τω 11 πρασσόμενον: corr. Dtz 12 'videtur excidisse διηγεῖται vel aliud simile verbum' Dtz; f. ἕκαστα ⟨διέσταλ⟩ται ὃν κτέ. 13 μηθ' εἷς ὑπολάβοι: correxi 14 τῷ δη λέγειν: corr. Brinkmann 15 περιποιεῖσθαι: correxi 17 ἀξίως cf. εἰκότως p. 3, 27 20 ὥσπερ ἴζεται ἕδρῃ ὅπως δε ἀμφι 21 κρεμᾶι (sic) 22 τοῦ κρεμαμένου 25 ἄλλω ἰν' δὲ 30 ἀλλοίων ὀργάνων ὀργαμενων (ex ἁρμένων natum) 32 τοιουτω προδιηρημένοις: correxi 33 ἀπολειφθεῖς: correxi (iunge ἀπολ. ἐπακ.); ἀπολῃφθεὶς (?) Dtz ἐπακολουθῃση: cf. Soranus p. 215, 18 Rose

Digitized by Google

μιᾶς ὀργανικῆς ἀνάγκης παρούσης. ἤδη δὲ καὶ τὰς ἐπὶ ποσόν τῆς διὰ τῶν ἀνδρῶν γινομένης βίας προσδεομένας ἐξαρθρήσεως μοχλείας οὕτως διασαφεῖ (IV 86 sq. L)· ἀτὰρ καὶ οἱ περὶ τὰ ὕπερα ἀναγκάζοντες κατὰ φύσιν ἐμβάλλουσι. χρὴ δὲ τὸ μὲν ὕπερον κατειλίχθαι τινί· ἧσσον γὰρ ἂν ὀλισθάνοι· ὑπηναγκάσθαι δὲ μεσηγὺ τῶν πλευρέων καὶ τῆς κεφαλῆς τοῦ βραχίονος. καὶ ἢν μὲν βραχὺ ἔῃ τὸ ὕπερον, καθῆσθαι χρὴ τὸν ἄνθρωπον ἐπί τινος, ὡς μόλις τὸν βραχίονα περιβάλλειν δύνηται περὶ τὸ ὕπερον. μάλιστα δὲ ἔστω μακρότερον τὸ ὑπεροειδές, ὡς ἂν ἑστεὼς ἄνθρωπος κρέμηται μικροῦ δεῖν ἀμφὶ τῷ ξύλῳ· καὶ ἔπειτα ὁ μὲν βραχίων καὶ ὁ πῆχυς παρατεταμένος παρὰ τὸ ὕπερον ἔστω, τὸ δὲ ἐπιθάτερα τοῦ σώματος καταναγκαζέτω τις περιβάλλων περὶ τὸν αὐχένα παρὰ τὴν κλεῖδα τὰς χεῖρας. αὕτη ἡ ἐμβολὴ κατὰ φύσιν ἐπιεικέως ἐστὶν, καὶ ἐμβάλλειν δύνανται, ἢν χρηστῶς σκευάσωνται. δεῖ γὰρ ἡμᾶς τὸ ξύλον ἀσφαλῶς ἑδράζειν, ὅπως ἂν μή τι κατὰ τὸν χειρισμὸν ἐμπόδιον ἐπενέγκῃ σαλευόμενον, ἐπεί γε βιαιοτέραν ἔχει τὴν μοχλείαν οὗτος ὁ τρόπος· ὡς δ' ἄν τις χρῷτο τῷ καταρτισμῷ περὶ τὸ ὑπεροειδὲς ξύλον, ὑπόκειται.

(Tabvla V)

Ἀσφαλέστερον δὲ τὸ⟨ν⟩ διὰ τοῦ κλιμακίου γινόμενον διὰ τούτων ὑποτέταχεν (IV 88 L)· ἀτὰρ καὶ ἡ κατὰ τοῦ κλιμακίου ἑτέρη τις τοιαύτη καὶ ἔτι βελτίων, ὅτι ἀσφαλέστερον πᾶν τὸ σῶμα τὸ μὲν τείνεται, τὸ δὲ ἀντισηκώσει μετεωρισθέν. περὶ γὰρ τὸ ὑπεροειδὲς ὅμως ἦν καταπεπήγῃ, περισφάλλεσθαι τὸ σῶμα κίνδυνος ἢ τῇ ἢ τῇ. χρὴ μέντοι καὶ ἐπὶ τῷ κλιμακτῆρι ἐπιδεδέσθαι τι στρογγύλον ἄνωθεν ἐναρμόσον ἐς τὸ κοῖλον τῆς μασχάλης, ὅπως διαναγκάσῃς τὴν κεφαλὴν τοῦ βραχίονος εἰς τὴν φύσιν ἀπιέναι. πυκνότερον εἴωθεν ἐπὶ τῶν ἀναγκαίαν χρείαν ἐχόντων διαστέλλεσθαι πρὸς τὸ μὴ διαλαθεῖν τι τῶν χρησίμων· ὃ δὴ καὶ νῦν πεποίηκεν πάλιν ὑπομνήσας, ὅτι δέον ἐστὶν καὶ ἐπὶ τοῦ κλιμακτῆρος προσεπιδεδέσθαι τι στρογγύλον πρὸς ἐκπλήρωσιν τοῦ ἐν τῇ μασχάλῃ κοίλου, τῷ διὰ τοῦ τοιούτου τρόπου μάλιστά πως εἰς τὸ ἄνω μοχλεύεσθαι τὴν τοῦ ὤμου κεφαλήν. τὸ δὲ κλιμάκιον οἳ μὲν οἴονται εἶναι πῆγμα τετράγωνον παραπλήσιον κλιμακοειδῃ ἀντίας καὶ ὀνίσκον ἔχον ἐν τῷ κάτω μέρει, οἳ δὲ κλίμακα τὸ κλιμάκιον εἰρῆσθαί φασιν καὶ λαμβάνοντες οἰκοδομικὴν κλίμακα περὶ ἕνα τῶν ἀναβαθμῶν ἀφ' ὕψους ὑπερρίπτουσιν τὴν χεῖρα προυποτιθέντες σφαίρωμα πρὸς ἐκπλήρωσιν τῆς μασχάλης, εἶτ' ἀφιᾶσιν ἐκ μὲν τοῦ ἑτέρου μέρους τῆς κλίμακος αἰωρεῖσθαι τὸν ἄνθρωπον, τοῦ ἐδάφους ἤτοι μὴ ἁπτόμενον ἢ βραχέως δὲ θιγγάνοντα, ἐκ δὲ τοῦ ἑτέρου μέρους τὴν ἐξηρθρηκυῖαν

1 τῇ δ. τ. ἀ. γινομένη βίᾳ: correxi 2 f. ἐξαρθρήσεων μοχλίας 3 κατειληχθαι 4 ὑπηνεγκασθαι 5 ἡ μεν β. εἰ καθισθαι 6 μολις 7 ἑστο ὑπεροιδες ὡς ἂν ἑσται ὡς ανος 8 μηκροῦ 9 τῷ δὲ 10 περι τὴν κλεῖδα 11 σκευάσονται 13 σαλεύομενον θεῖη γε: corr. Brinkmann 13 σαλευόμενον ἔχει μοχλίαν οὕτως 14 κοῖλον: corr. Dtz τὸ: correxi 16 et 17 κλημακίου 17 ἐπι 18 τεινηται 19 καταπεπείγῃ κινδυνος εἴη εἰ τι 20 κλημακτῆρι 21 ἐναρμόσων 23 πρὸς τῷ 25 τὸν διὰ: correxi; 'f. διὰ τὸ' Dtz 26 κλημακιον τετράγονον 27 κλιμακοειδῃ ἀντίας 'f. ἀντίᾳ' Dtz quod non intellego. f. τετραγώνῳ π. κλιμακοειδεῖ ἀντηρίδας κτέ. κλήμακα τὸ κλημάκιον 28 κλήμακα ἑνατον: corr. Dtz ἄνω βαθμῶν ὑφ' ὕψους: correxi φησιν: corr. Dtz 29 ὑπερίπτουσιν 30 κλήμακος ἰωρεῖσθαι: corr. Dtz 31 εἶτοι: corr. Dtz βραχέως δὲ: 'f. τι' Dtz θιγγανονοντα

Digitized by Google

χεῖρα διακατέχοντες ἐπὶ ποσὸν ἐπισπῶνται. καὶ δοκεῖ γέ μοι τοιοῦτος ὁ τῆς ἐμβολῆς ὑπάρχειν τρόπος καὶ οὐ διά τινος ὀργανικῆς ἀνάγκης εἰρῆσθαι γινόμενος. ἐμέμνητο γὰρ ἂν ὁ ἰατρὸς τῆς κατασκευῆς αὐτοῦ καὶ οὐκ ἄν ποτε τὴν ἑξῆς ἐμβολὴν κρατίστην πασῶν εἶναι διέλαβεν, εἴπερ ἐξεπεφεύγει τὴν τῶν ἐκ τοῦ καιροῦ πρὸς βοήθειαν ἐπινοουμένων μηχανημάτων εὐπορίαν. καὶ τὰ ἑπόμενα δὲ σὺν τοῖς προδιηριθμημένοις τῆς αὐτῆς ἐπινοίας ἔχεται· οὐ μὴν ἀλλ' ἐν τοῖς ἐπὶ πᾶσι τοῦ βιβλίου ἀνακεφαλαιούμενος πάσας τὰς ἐμβολὰς καὶ ἐπὶ τοῦ ὤμου φησίν, ὅτι καὶ περὶ κλίμακος ⟨εὖ καταρτίζεται· ὡς⟩ δὲ χρηστέον ἐστὶ τῇ ὑποπιπτούσῃ μεθόδῳ, προσυπόκειται.

(Tabvla VI)

Κράτιστον δὲ ὤμου καταρτισμὸν διὰ τῶν ἐχομένων οὕτως φησίν (IV 88 L)· κρατίστη μέντοι πασέων τῶν ἐμβολέων ἡ τοιήδε. ξύλον χρὴ εἶναι πλάτος μὲν ὡς πενταδάκτυλον τὸ ἐπίπαν ἢ τετραδάκτυλον, ⟨πάχος δὲ ὡς διδάκτυλον⟩ ἢ καὶ λεπτότερον, μῆκος δὲ δίπηχυ ἢ καὶ ὀλίγῳ ἔλασσον. ἔστω δ' ἐπὶ θάτερα ἄκρον περιφερὲς καὶ στενότατον ταύτῃ καὶ λεπτότατον. ἄμβην δὲ ἐχέτω μικρὸν ὑπερέχουσαν ἐπὶ τῷ ἐσχάτῳ τοῦ περιφερέος ἐν τῷ μέρει μὴ τῷ πρὸς τὰς πλευράς, ἀλλὰ τῷ πρὸς τὴν κεφαλὴν τοῦ βραχίονος ἔχοντι, ὡς ὑφαρμόσειε τῇ μασχάλῃ παρὰ τὰς πλευρὰς ὑπὸ τὴν κεφαλὴν τοῦ βραχίονος ὑποτιθέμενον. ὀθονίῳ δὲ ἢ ταινίᾳ μαλακῇ ἁπλῇ κατακεκολλήσθω ἄκροθεν τὸ ξύλον, ὅπως προσηνέστερον ἔῃ. ἔπειτα χρὴ ὑπώσαντα τὴν κεφαλὴν τοῦ ξύλου ὡς ἐσωτάτω μεσηγὺ τῶν πλευρέων καὶ τῆς κεφαλῆς τοῦ βραχίονος, τὴν ὅλην χεῖρα πρὸς τὸ ξύλον κατατείναντα προσκαταδῆσαι κατά τε τὸν βραχίονα κατά τε τὸν πῆχυν κατά τε τὸν καρπὸν τῆς χειρός, ὡς ἀτρεμέῃ. μάλιστα δὲ περὶ παντὸς χρὴ ποιεῖσθαι ὅπως τὸ ἄκρον τοῦ ξύλου ὡς ἐσωτάτω τῆς μασχάλης ἔσται, ὑπερβεβηκὸς τὴν κεφαλὴν τοῦ βραχίονος. ἔπειτα χρὴ μεσηγὺ δύο στύλων στρωτῆρα πλάγιον εὖ προσδῆσαι καὶ ἔπειτα ὑπερενεγκεῖν τὴν χεῖρα σὺν τῷ ξύλῳ ὑπὲρ τοῦ στρωτῆρος, ὡς ἡ μὲν χεὶρ ἐπὶ θάτερα ἔῃ, ἐπὶ θάτερα δὲ τὸ σῶμα, κατὰ τὴν μασχάλην δὲ ὁ στρωτήρ· καὶ ἔπειτα ἐπὶ μὲν θάτερα τὴν χεῖρα καταναγκάζειν σὺν τῷ ξύλῳ περὶ τὸν στρωτῆρα, ἐπὶ δὲ θάτερα τὸ ἄλλο σῶμα. ὕψος δὲ ἔχων ὁ στρωτὴρ προσδεδέσθω, ὥστε μετέωρον τὸ ἄλλο σῶμα εἶναι. ταύτης δὲ τῆς ἐμβολῆς τὴν ἰσχυροτάτην ἀνάγκην περιεχούσης ὁ Βακχεῖος τὴν ἐπὶ τοῦ μοχλοειδοῦς ξύλου λεγομένην ἄμβην οὕτως ⟨ἐν τοῖς⟩ περὶ τῶν Ἱπποκρατείων λέξεων ἐξηγεῖται· [ὃν] ἐν ταῖς λέξεσιν ἀναγέγραπται, ὡς Ῥόδιοι ἄμβωνας καλοῦσι τοὺς τῶν ὀρῶν λόφους καὶ καθόλου τὰς προσαναβάσεις· καὶ διὰ τούτων φησὶν πάλιν· ἀναγέγραπται δὲ καὶ ὡς ὁ Δημόκριτος εἴη καλῶν τῆς ἴτυος τὴν τῷ κοίλῳ περικειμένην ὀφρὺν ἄμβην· ἔχει[ν] δὲ παρ' αὐτῷ καὶ οὕτως· ἀναγέγραπται δὲ ὁμοίως· ἄμβων τῆς λοπάδος τὸ περικείμενον χεῖλος. Ἀριστοφάνης· ὁ πολλῶν

1 τοιουτως: corr. Dtz 3 f. αὐτῆς 4 f. εἰ προεξεπεφεύγει ἐπινοουμένην: correxi 7 κλήμακος δὲ: supplevi coll. p. 33,6 11 τοιῖδε 12 τῷ 13 δήπυχοι ἐλάσσω 14 ὑπερέχουσα 15 περιφερέως μέρη 17 ὑποτηθέμενον τενίῃ μαλακῇ 18 κατακεκολλείσθω ἄκρωθεν τω ξυλω εἰ 20 τῷ ξύλον κατατείνοντα 23 ἐσοτάτω 26 εἰ 28 τῷ ἄλλω 29 τῷ ἄλλω 30 βάκχιος: corr. Dtz suppleri 31 delevi vocem dittographia natam ὡς ὅτι: corr. coll. Erotian. p. 53, 6 sq. Klein ἄμβονας 32 f. διὰ τῶν αὐτῶν 34 ἔχειν: 'f ἔχει' Dtz 35 Ἀριστοφάνης: immo Eupolis, v. FCG II, 440; V, 34; f. ὧ πολλῶν

λοπάδων τοὺς ἄμβωνας περιλείξας. ταῦτα κομιζόμεν⟨ος τ⟩ὰ μαρτύρια παντελῶς ἐστιν εὐήθης κεχωρισμένα τῆς ἀπὸ τῶν συμβαινόντων χρείας. ἔδει δὲ ἱστορηκότα τοῦτο κατακεχωρικέναι, ὅτι Κῷοι τοὺς τῶν κλιμάκων ἀναβαθμοὺς ἄμβωνας καλοῦσιν, ὥστ' εἰρῆσθαι τὴν ἐν τῷ ξύλῳ ὑπεροχὴν τοιαύτην εἶναι, ὁμοίαν ἀναβαθμῷ εἰς τὸ βάθος ἐκκοπὴν ἔχουσαν· πᾶν τε τὸ μὴ κατ' εὐθὺ φέρον ἐν τῷ βάθει, ἀλλὰ πρὸς τὸ κάτω εἶναι νενευκὸς τρῆμα καλοῦσιν οἱ ἐργάται ὑπαμβές. πλὴν ταῦτα μὲν παρῆγον νῦν. σαφέστερον γὰρ Ἱπποκράτης διὰ τῶν προκειμένων περὶ τῆς τοῦ ξύλου κατασκευῆς καὶ χρήσεως ὑπογέγραφεν. ἡ δ' ἐμβολὴ γένοιτ' ἂν οὕτως.

(Tabvla VII)

Ἔτι δὲ πρὸς τὸ προκείμενον τοιαῦτά τινα προσεπιλέγει (IV 90 L)· οὗτος ὁ τρόπος παρὰ πολὺ κράτιστος ἐμβολῆς ὤμου· δικαιότατα μὲν γὰρ μοχλεύει, ἢν μοῦνον ἐσωτέρω ᾖ τὸ ξύλον τῆς κεφαλῆς τοῦ βραχίονος· δικαιόταται δὲ αἱ ἀντιρροπαί, ἀσφαλέες δὲ τῷ ὀστέῳ τοῦ βραχίονος. τὰ μὲν οὖν νεαρὰ ἐμπίπτει θᾶσσον ἢ ὡς ἄν τις οἴοιτο πρὶν ἢ καὶ κατατετάσθαι δοκεῖν. ἀτὰρ καὶ τὰ παλαιὰ μόνον αὖτη τῶν ἐμβολέων οἵη τ' ἐμβιβάσαι, ἢν μὴ ἤδη ὑπὸ χρόνου σαρξ μὲν ἐπεληλύθῃ ἐπὶ τὴν κοτύλην, ἡ δὲ κεφαλὴ τοῦ βραχίονος ἤδη τρίβον ἑωυτῇ ᾖ πεποιημένη ἐν τῷ χωρίῳ, ἵνα ἐξεκλίθη. οὐ μὴν ἀλλ' ἐμβάλλειν γάρ μοι δοκεῖ καὶ οὕτως πεπαλαιωμένον βραχίονα. τί γὰρ ἂν δικαίη μόχλευσις οὐ κινήσειεν; μένειν μέντοι οὐκ ἄν μοι δοκέοι κατὰ χώρην, ἀλλ' ὀλισθάνειν εἰς τὸ ἔσω. οὐ μόνον δὲ τῇ ὑπὲρ τὸν στρωτῆρα τῆς χειρὸς ὑπερθέσει συγχρῆσθαι διείληφεν, ἀλλὰ καὶ ἐφ' ἑκατέρων τῶν παρατυχόντων, οἷον εὐθέως ὑποτέταχεν ἐπὶ τοῦ κλιμακίου λέγων οὕτως (IV 92 L)· τὸ αὐτὸ δὲ ποιεῖ καὶ περὶ κλιμακτῆρα καταναγκάζειν τὸν τρόπον τοῦτον σκευάσαντα. τὴν δὲ τούτου καταγραφὴν παρήσομαι διὰ τὸ καὶ ἐν τοῖς προεκκειμένοις διασαφεῖσθαι. τὰ δὲ ἑξῆς οὕτως ὑπογέγραφεν (IV 92 L)· πάνυ μὴν ἱκανῶς ἔχει καὶ περὶ μέγα ἔδος Θεσσαλικὸν ἀναγκάζειν [ὂν] νεαρὸν τὸ ὀλίσθημα. ἐσκευάσθαι μὲν γὰρ χρὴ τὸ ξύλον οὕτως ὥσπερ εἴρηται, ἀτὰρ τὸν ἄνθρωπον καθίσαι πλάγιον ἐπὶ τῷ δίφρῳ καὶ ἔπειτα τὸν βραχίονα σὺν τῷ ξύλῳ ὑπερβάλλειν ὑπὲρ τοῦ ἀνακλισμοῦ καὶ ἐπὶ μὲν θάτερα τὸ σῶμα καταναγκάζειν, ἐπὶ δὲ θάτερα τὸν

3 sq. Erotianus p. 53 Klein: ὁ δὲ Κιτιεὺς Ἀπολλώνιος ἐν τῷ περὶ ἄρθρων σιγματοειδῆ ἐκκοπὴν (sc. τὴν ἄμβην φησίν). Hino emendatio petenda.

1 περιλείψας: corr. Dtz κομιζομενα: corr. Brinkmann 2 ευήθης: εὐήθως Dtz κ. τ. ἀ. τ. c. χρ. i. e. aliena ab eo sermonis usu, qui ab eis, quae vulgo accidunt, proficiscitur 5 καλεῖσθαι: καλοῦσιν Dtz; f. καλ⟨οῦσιν . . . . .⟩ καλεῖσθαι· ὥστ' εἰρῆσθαι ὡστηρεῖσθαι: corr. Dtz 5 τε: 'f. δὲ' Dtz φέρων: corr. Dtz 5 f. πρὸς τῷ κάτω ἰέναι ⟨καὶ⟩ νενευκὸς νενευκοστρίμα: corr. Dtz ὑπαμβές restituendum est ex libris Philoni mech. synt. p. 65, 8 Th. 6 f. πάρεργον νῦν παρ' ἱπποκρατη: correxi 9 τῶ προσεπιλέγειν: corr. Dtz οὕτως 10 μοχλεύειν ἢν μόνον ἢν 12 ἀσφαλες δε τω οστεον ἐμπίπτη 13 παλεὰ 14 ἐνβιβάσαι εἴ 16 χοριω 17 δίκαια μοχλεύσης κινησιεν 18 δοκει 19 ὑπερ τὸν στροτῆρα συνχρεισθαι: corr. Dtz f. ἐφ' ἑτέρων 20 κλημακίου 21 τῶ αὐτῶ δε κλημακτῆρα 23 f. προκειμένοις διασεσαφῆσθαι πᾶν ου μὴν 24 ἀναγκαζειν ὃν νεαρὸν τῶ ὀλήσθημα 25 τῶ ξύλον καθησαι 26 ἔπιτα 27 τῶ σῶμα

Digitized by Google

βραχίονα σὺν τῷ ξύλῳ. ἡ δὲ ἐμβολὴ γένοιτ' ἂν οὕτως. ἡ ἐπὶ θάτερα κατοχὴ παραλέλειπται. ἔσται οὖν περιτρωπὴ καὶ ἡ χεὶρ ἀφέστηκεν ἀπὸ τοῦ ἀγκῶνος.

(Tabvla VIII)

Τὸν δ' αὐτὸν τρόπον καὶ οὕτως γίνεσθαι κεκήμαγκεν (IV 92 sq. L)· τὸ αὐτὸ δὲ ποιεῖ καὶ ὑπὲρ δικλίδος θύρης ἀναγκάζειν. χρῆσθαι δὲ χρὴ ἀεὶ τούτοις ἃ ἂν τύχῃ παρεόντα. ὁ μὲν αὐτὸς τρόπος ἐστὶν τῆς ἐμβολῆς ὁ διὰ τοῦ ξύλου γινόμενος τοῦ τὴν ἄμβην ἔχοντος. ἡ δέ γε πεῖρα [τὰ] πλεονάσε⟨ι⟩ τοῖς τοιούτοις ὑποδείγμασιν τοῖς πρὸς τὴν ὑπέρθεσιν τῆς χειρὸς εὐθέτοις χάριν τοῦ τοῖς παραπίπτουσιν ἐκ τοῦ καιροῦ συγχρωμένους ῥᾳδίως ἐπιτελεῖν τὸ προκείμενον. καθόλου δ' ἐπὶ τῆς τοῦ ὤμου ἐμβολῆς προνοητέον καθάπερ διέσταλται καὶ ἐπὶ τῶν λοιπῶν, ⟨ἐπὶ⟩ μὲν τῶν ἐντιθεμένων εἰς τὴν μασχάλην ἐκπληρώσεως χάριν ⟨ὡς .....⟩ καὶ ἐπὶ τοῦ ξύλου δὲ, ὡς ἐσωτάτω καὶ μεταξὺ τεθήσεται τῆς κεφαλῆς τοῦ ὤμου καὶ τῶν πλευρῶν [καὶ], ὅπως ἂν ἡ ⟨ἐν⟩ αὐτῷ ὑπεροχὴ μὴ πρὸς τὰς πλευράς, ἀλλὰ πρὸς τὸν ὦμον ἐντὸς ἐπιστρέφηται· οὕτω γὰρ τοῦ ξύλου τεθέντος καὶ ἐπίβασιν ἐπὶ τὴν ἐξοχὴν αὐτοῦ τῆς τοῦ ὤμου κεφαλῆς ποιησαμένης εὐχερὴς εἰς τὸ κατὰ φύσιν ἀπο⟨κατά⟩στασις ἔσται. καταρτίζεται δὲ ὦμος ὑπὲρ τῆς δικλίδος θύρας τὸν τρόπον τοῦτον.

(Tabvla IX)

Ἐπὶ πᾶσι δὲ τοῖς προδιηριθμημένοις τὰ τοιαῦτα ἐπέζευξεν (IV 94 L)· εἰδέναι μὲν οὖν χρὴ ὅτι φύσιες φυσίων μέγα διαφέρουσιν ἐς τὸ ῥηϊδίως ἐμπίπτειν τὰ ἐκπίπτοντα. ἀναγκαῖον γάρ ἐστιν τῷ μέλλοντι κατὰ τρόπον τῶν ἄρθρων καταρτισμὸν ποιεῖσθαι τὴν περὶ ἑκάστου ὑπάρχουσαν διαφορὰν φύσει, ἕξει, ἡλικίᾳ προσλαμβάνεσθαι, ἵνα μὴ, ἐπὶ πάντων μιᾷ καὶ τῇ αὐτῇ ἀνάγκῃ χρώμενος, καὶ ἐφ' ὧν μὴ ⟨δεῖ⟩ διαβι[β]άζηται οἷον ἐπὶ νηπίων τε καὶ ἀσθενῶν καὶ τῶν φύσει καὶ ἕξει ῥᾳδίως δυναμένων καταρτισθῆναι, ἢ πάλιν ἐπί τινων διὰ νεύρων ⟨.....⟩ ἢ ἕξεως σκληρότητα μὴ εὐχερῶς κατακρατουμένων ἀφιστῆται τοῦ προκειμένου, προσάγῃ δὲ τὰς βιαστικωτέρας ἀνάγκας. ἕξῆς δὲ τὴν ἐν τῇ φύσει καὶ ἕξει διαφορὰν οὕτως ὑπογέγραφεν (IV 94 L)· διενέγκαι μὲν γὰρ ἄν τι καὶ κοτύλη κοτύλης, ἡ μὲν εὐυπέρβατος οὖσα, ἡ δὲ καὶ ἧσσον. πλεῖστον δὲ διαφέρει τῶν νεύρων ὁ ἔνδεσμος, τοῖς μὲν ἐπιδόσεις ἔχων, τοῖς δὲ συνδεδεμένος. καὶ γὰρ ἡ ὑγρότης τοῖς ἀνθρώποις γίγνεται ἡ ἐκ τῶν ἄρθρων διὰ τὴν τῶν νεύρων ἀπάρτισιν, ἣν χαλαρά τε ἡ φύσει καὶ ἐπιτάσεις εὐφόρως φέρῃ. συχνοὺς γὰρ ἄν τις ἴδοι, οἳ οὕτως ὑγροί εἰσιν, ὥστε, ὁπόταν ⟨ἐθέλωσι⟩, ἐξίστανται ἀνωδύνως καὶ καθίστανται ἀνωδύνως. διαφέρει μέντοι τι καὶ ἕξις σώματος. τοῖς μὲν γὰρ εὖ ἔχουσι τὸ συῖον καὶ σεσαρκωμένοις ἐκπίπτει ἧσσον ἐμπίπτει τε χαλεπώτερον. ὅταν ⟨δὲ⟩ αὐτοὶ σφῶν ἑαυτῶν λεπτοὶ καὶ ἄσαρκοι ἔωσιν, τότε ἐκπίπτει μᾶλλον, ἐμπίπτει τε ῥᾳ[δι]ον.

---

1 ἡ ἐπὶ κτέ: 'haec verba ad picturam spectant' Dtz 2 περιτρωπὴ: περιτροπὴ Dtz 4 γενεσθαι: correxi τῷ αὐτῷ 5 δικλειδος θυρις 7 πειραταπλεόνασε τοις: correxi; πεῖρα ἐπλεόνασε Dtz ὑποδειγμασιν 8 παραπηπτουσιν συνχρομένοις ραδειως: corr. Dtz 10 λυπῶν: corr. Dtz ⟨ἐπὶ⟩ addidi 11 suppleverim: ⟨ὡς ἐσωτάτω καὶ ὡς μάλιστα πρὸς τῶν πλευρῶν κείσεται⟩ coll. p. 4, 9 sq. 12 [καὶ] seclusi ἡ αὐτῷ: αὐτοῦ Dtz; ego ⟨ἐν⟩ addidi coll. p. 7, 3 17 ἐπιπλοι: corr. Brinkmann; ἐπὶ πλέον Dtz 18 εἰς 20 ηλικιη: corr. Dtz 21 χρόμενος: corr. Dtz ⟨δεῖ⟩ add. Brinkmann; διαβι[β]άζηται R. Schoene 22 ἐπει: corr. Dtz 23 lacunam indicavi 24 προς ἀγει 28 ἀπάρτησιν ἡ φυσικη επιτασις 32 χαλεπότερον 33 λεπτοὶ καὶ ἄσαρκοι ῥαδιον

Digitized by Google

Περὶ μὲν οὖν ὤμου καταρτισμοῦ ταῦθ' ὑπογέγραφεν· περὶ δὲ τῆς σημειώσεως οὕτως διασαφεῖ (IV 102 L)· γιγνώσκειν δὲ εἰ ἐκπέπτωκεν ὁ βραχίων τοῖσδε χρὴ τοῖς σημείοις· τοῦτο[ις] μὲν ἐπειδὴ δίκαιον ἔχουσι τὸ σῶμα οἱ ἄνθρωποι καὶ τὰς χεῖρας καὶ τὰ σκέλη, παραδείγματι χρῆσθαι χρὴ τῷ ὑγιεῖ πρὸς τὸ ⟨μὴ⟩ ὑγιές, μὴ τὰ ἀλλότρια ἄρθρα καθορῶντα, ἄλλοι γὰρ ἄλλως ἐξάρθροι πεφύκασιν, ἀλλὰ αὐτοῦ τοῦ κάμνοντος ἦν ἀνόμοιον ἢ τὸ ὑγιὲς τῷ μὴ ὑγιεῖ. εἶτεν μετά τινας ἀριθμοὺς τὰ παρακολουθοῦντα σημεῖα διὰ τούτων ἐκτίθεται (IV 104 L)· ἀτὰρ τοῦτο μὲν ἐν τῇ μασχάλῃ ἡ κεφαλὴ τοῦ βραχίονος φαίνεται ἐγκειμένη πολλῷ μᾶλλον τοῦ ἐκπεπτωκότος ἢ τοῦ ὑγιέος, τοῦτο δὲ ἄνωθεν κατὰ τὴν ἐπωμίδα κοῖλον φαίνεται τὸ χωρίον καὶ τοῦ ἀκρωμίου τὸ ὀστέον ἔξοχον φαίνεται, ἅτε ὑποδεδωκότος τοῦ κάτω χωρίου. παρασύνεσιν μὲν καὶ ἐν τούτῳ ἔχει[ν] τινά, ἀλλὰ ὕστερον περὶ αὐτοῦ γέγραπται· ἄξιον γὰρ γραφῆς ἐστι. τοῦ δὲ ἐκπεπτωκότος ὁ ἀγκὼν φαίνεται ἀφεστεὼς μᾶλλον ἀπὸ τῶν πλευρέων ἢ τοῦ ἑτέρου. εἰ μέντοι τις προσαναγκάζοι, προσάγεται, ἐπιπόνως δέ. τοῦτο ⟨δὲ⟩ ἄνω τὴν χεῖρα ἀεῖραι εὐθεῖαν παρὰ τὸ οὐκ ἐκτεταμένου τοῦ ἀγκῶνος οὐ μᾶλλον δύνανται ὥσπερ τὴν ὑγιέα, οὐδὲ παράγειν ἔνθα καὶ ἔνθα ὁμοίως. τά τε οὖν σημεῖα ταῦτ' ἐστιν ὤμου ἐκπεπτωκότος αἵ τε ἐμβολαὶ αἱ ἐγγεγραμμέναι.

Ταῦτ' ἐστιν ὅσα ποτε περὶ ὤμου καταρτισμοῦ παρ' Ἱπποκράτει διασαφεῖ⟨ται⟩ δυνάμενα ῥᾳδίως καὶ ὑπὸ τῶν κατὰ τὸ πλεῖστον ἐν παλαίστρᾳ διατριβόντων κρατηθῆναι. ἀναγκαῖον οὖν καὶ σοὶ πρὸς τὰ συμβαίνοντα γιγνώσκεσθαι. ἐὰν δὲ καὶ τὸν τῶν λοιπῶν ἄρθρων καταρτισμὸν ὃν τρόπον δεῖ ποιεῖσθαι κατὰ τὸν ἰατρὸν προαιρῇ μεταλαμβάνειν καὶ τὸ ὑπ' αὐτοῦ πρώτως ἐπινοηθὲν πρὸς ταῦτα ὄργανον εἰδῆσαι σπεύδῃς, μετὰ τῆς ἐνδεχομένης ἀκριβείας ἀναγραφὲν δοθήσεταί σοι.

ΑΠΟΛΛΩΝΙΟΥ ΚΙΤΙΕΩΣ

ΤΗΣ ΠΕΡΙ ΑΡΘΡΩΝ ΠΡΑΓΜΑΤΕΙΑΣ

⟨ΤΟ ΔΕΥΤΕΡΟΝ⟩

Ἐν μὲν τῷ πρὸ τούτου βιβλίῳ, βασιλεῦ Πτολεμαῖε, περὶ ὤμου καθ' Ἱπποκράτην ἐμβολῆς δεδηλώκαμεν, ἐν δὲ τούτῳ περί τε ἀγκῶνος καὶ καρποῦ καὶ σφονδύλων, ὃν

---

2 ἡ εκπεπτοκεν 3 τούτοις μεν 4 χρειεθαι χρὴ τῷ ὑγιει προς τω ὑγιες 5 πεφοίκασιν 7 ἐκτέθηται 8 φένεται 9 ἐκπεπτοκοτος ἐπωμηδα 9 et 10 φένεται 10 ὑποδεδωκοτος τοῦ κατωχωριου 12 ἔχειν γέγραπται 13 τοῦ δὲ ἐκπεπτοκοτος 14 ἦν μέντοι προσάγεται επιπονως δὲ τούτω ἄνω 15 ἀεῖραι μᾶλλον 16 ὑγειεα 17 εκπεπτοκότος ενγεγραμμέναι 18 ιπποκρατη διασαφει δυναμενα: correxi 20 f. ⟨ταῦτα⟩ γιγνώκκεσθαι τῶν λυπῶν: corr. Dtz 21 δὴ: corr. Dtz τῷ ὑπ' αὐτοῦ πρωτος: corr. Dtz 22 προς ταυτη: corr. Dtz ἤδηται: corr. Dtz

Digitized by Google

τρόπον ὁ προειρημένος ἰατρὸς τάς τε σημειώσεις αὐτῶν καὶ τοὺς καταρτισμοὺς ποιεῖσθαι παρακελεύεται, διασαφήσω. πρότερον δὲ τὰς λέξεις αὐτοῦ καταχωριῶ, εἶτ' εἰρομένως τὸν τῶν ἐμβολῶν τρόπον δι' αὐτῶν τῶν ὑποδειγμάτων ὑποτάξω πρὸς τὸ καθάπερ καὶ ἐν τοῖς πρότερον καὶ ἐν τούτοις εὐπαρακολούθητα σοι γενέσθαι τήν τε περὶ ἄρθρων θεωρίαν, οὐκ ἀνωφελῆ καθεστῶσαν, μὴ ἀτελείωτον φιλιατροῦντί σοι παραδοθῆναι. οὐκ ἀγνοῶ δὲ διότι τὰ διὰ χειρουργίας ἐνεργούμενα δυσκόλως διὰ λόγου καταλαμβάνεσθαι δύναται· ὅθεν ἐάν τινα μὴ σαφῆ σοι γίνηται, μὴ ἡμᾶς, ἀλλὰ τὴν τοῦ πράγματος αἰτιῶ φύσιν. τὸ[υ] μὲν γὰρ ὑποδείγματος ἔχει τρόπον ἐπὶ τὴν χρείαν μεταγόμενον, τὸ δ' ἁπάντων τῶν συμβαινόντων ἐναργῆ τὴν κατάληψιν ἐγχειρί⟨ζει⟩. οὐ μὴν ἀλλὰ καὶ καθ' ὅσον ἂν ᾖ δυνατὸν διὰ τούτων σαφῆ σοι κατασταθήσεται.

Ἐχομένως τοίνυν ὁ Ἱπποκράτης ἐν τῷ περὶ ἄρθρων βιβλίῳ περί τε ἐξαρθρήσεων καὶ παραρθρήσεων ἀγκῶνος καὶ τούτων καταρτισμοῦ μνημονεύων, οὐδαμῶς κατὰ πόσους τρόπους συμβαίνουσιν εὐσήμως τέταχεν· ἀλλά τοί γε διὰ τῶν κατὰ μέρος λόγων ποιήσω τοῦτο φανερόν, διότι παραρθρεῖ μὲν ἀγκὼν διχῶς, ἐξαρθρεῖ δὲ κατὰ τέσσαρας τρόπους. τοῦ γὰρ λεγομένου πήχεος ἐξ ὀστῶν δύο συνεστῶτος τὸ μὲν ἐντὸς αὐτῶν προσήρτηται τῷ βραχίονι νενευκὸς εἰς τὸν ἐκτὸς μᾶλλον τόπον, ὃ δὴ κερκὶς καλεῖται· τὸ δὲ ἔξω ἐπιβέβηκεν τῷ κοίλῳ τοῦ βραχίονος, λεγόμενον δὲ κορωνὸν καὶ ὀξὺ τοῦ ἀγκῶνος ὑφ' ἑκατέρων τῶν ὑπεροχῶν συνέχεται τῆς τε ἔσω τοῦ ἀγκῶνος, ἀφ' ἧς τὸν πῆχυν μετρεῖν εἰώθαμεν, καὶ τῆς ἔξω καταληγούσης ἀπὸ τοῦ βραχίονος. τούτων οὖν τῶν ὀστῶν ὃ δὴ κερκὶς καλεῖται, πεφυκὸς ἐντός, παραρθρεῖ μόνον, νεῦον ἢ πρὸς πλευρὰς ἢ εἰς τὸ ἐκτὸς μέρος. δηλοῖ δὲ περὶ αὐτοῦ τὸν τρόπον τοῦτον (IV 130 L)· ἀγκῶνος ἄρθρον παραλλάξομεν ἢ πρὸς πλευρὴν ἢ ἔξω, μένοντος τοῦ ὀξέος τοῦ ἐν τῷ κοίλῳ τοῦ βραχίονος. τοὺς μὲν οὖν τούτων σχηματισμοὺς ὑπογράφειν παρήσω· οὐ γὰρ ἂν δύναιντο, ἁπλῆς τῆς τάσεως αὐτῶν γινομένης, καταλημφθῆναι. αἱ δὲ παραρθρήσεις ἔκδηλοι γίνονται τὰ μὲν εἰς τὸ ἐντός, τὰ δὲ εἰς τὸ ἐκτός, πολύτροπον ἔχοντος τοῦ ἄρθρου διαστρεφομένου τε καὶ νεύοντος τοῦ μορίου ὁτὲ μὲν εἰς τὸ ἔξω, ὁτὲ δὲ εἰς τὸ ἔσω μέρος, ἃ δὴ οὕτως διὰ τῶν ἑξῆς καταρτίζειν παρακελεύεται (IV 130 L)· ἐς εὐθὺ κατατείνοντα[ι] τὰ ἐξέχοντα ἀπωθεῖν ὀπίσω καὶ εἰς τὸ πλάγιον. ἡ γὰρ εἰς εὐθὺ τάσις ἀπο⟨κατά⟩στασιν τῶν ἄρθρων ποιεῖ, ὥστε ῥᾳδίως εἰς τὴν κατὰ φύσιν χώραν τὸ ἄρθρον παραγίνεσθαι· ἐάν τε οὖν εἰς τὸ πρὸς τὰς πλευρὰς μέρος ἐάν τε ἔξω παραρθρήσῃ, χρηστέον τῇ κατ' εὐθὺ τάσει καὶ τὸ μὲν ἔσω νενευκὸς βιάζεσθαι μετὰ συμμέτρου κάμψεως καὶ τῆς εἰς τὸ ὕπτιον τῆς χειρὸς ἀναστροφῆς, ἐπὶ τὸ τοῦ ἀγκῶνος πλάγιόν τε καὶ βάθος ἐπερείδοντα ἢ χειρὶ ἢ δακτύλοις, τὸ δὲ εἰς τὸν ἔξω τόπον ἐκκεκλικὸς εἶσω βιάζεσθαι τὸ τῆς χειρὸς θέναρ προσβάλλοντα ἐκ πλαγίου τοῦ ὀξέος τοῦ[τ'] ἀγκῶνος, ἅμα καὶ τὴν τῆς χειρὸς ἐπιστροφὴν ἐπὶ τὸ πρηνὲς ποιουμένους.

---

2 εἰθ' ἐρρωμένως: correxi; ἐχομένως Dtz 5 δε δεῖ ὅτι: corr. Brinkmann 6 χηρουργίας 7 γίνεται του μεν: corr. Dtz 8 μεταγώμενον ἁπαντῶν: ἀπ' αὐτῶν Dtz 9 ἐν χειρὶ: ἐγχειρί⟨ζει⟩ Brinkmann [καὶ] Brinkmann 12 παραάρθρησεων 13 τοι: 'fort. σοι' Dtz 14 κατὰ δ τρόπους 15 πήχεος 17 κωρονον: corr. Dtz καὶ ὀξύ: f. κατὰ τὸ ὀξύ 21 παραλλάξομεν 22 ὀξέως 25 πολύτροπον: 'excidit κίνησιν sive χρείαν' Dtz; πόλου τρόπον Brinkmann dubitanter 26 καταγγίζειν: 'idem quod καταρτίζειν' Dtz sine exemplo; correxi 27 ἐς εὐθύ 28 ἀπόστασιν: correxi 29 παραγενέσθαι: correxi 33 ὀξέως τουτ' ἀγκωνος: corr. Dtz

Digitized by Google

Περὶ μὲν οὖν τῆς τοῦ ἀγκῶνος παραρθρήσεως οὕτως διακαφεῖ· περὶ δὲ τῆς ὁλοχερεστέρας ἐξαρθρήσεως τὸν τρόπον τοῦτον μέμνηται (IV 130 L)· τὰ δὲ τελέως ἐκβάντα ἔνθα ἢ ἔνθα· ἡ κατάτασις μὲν ἐν ᾗ ὁ βραχίων ἐπιδεῖται. αὗται εἰσιν ὁλοχερεῖς δύο [εἰσιν] ἐξαρθρήσεις ἀγκῶνος, ἡ μὲν ἔσω νεύουσα, ἡ δὲ εἰς τὸ ἔξω μέρος. μνημονεύει δὲ διὰ τῶν ἑξῆς ἔτι καὶ ἄλλων δύο ἐξαρθρήσεων, τῆς μὲν ἔμπροσθεν, τῆς δὲ εἰς τοὐπίσω γινομένης. οὔτε δὲ περὶ αὐτῶν οὔτε περὶ τοῦ καταρτισμοῦ κατὰ τὸν εἰρημένον μέμνηται λόγον· ὅθεν περὶ τῶν προκειμένων πρότερον ἐκθήσομαι, ὃν τρόπον τὰς ἐμβολὰς ποιεῖσθαι παρακελεύεται. μετὰ πλείονας δὲ ἀριθμοὺς οὕτως φησίν (IV 134 L)· ἀγκὼν δὲ ἦν μὲν ἔσω ἢ ἔξω ⟨ἐκβῇ⟩, κατάτασις μὲν ἐν σχήματι ἐγγωνίῳ τῷ πήχει πρὸς βραχίονα· μασχάλην ἀναλαβόντα ταινίᾳ ἀνακρεμάσαι, ἀγκωναρην δε μηκρω ὑποθεὶς παρὰ δὲ τὸ ἄρθρον βάρος ἐκκρεμάσαι ἢ χερσὶ καταναγκάζειν. ὑπεραιωρηθέντος δὲ τοῦ ἄρθρου αἱ παραγωγαὶ τοῖς θέναρσιν ὡς τὰς ἐν χερσίν. ἐπιδέσεις ἐν τούτῳ τῷ σχήματι καὶ ἀναλήψεις καὶ θέσεις. ἐπὶ τούτῳ οὐκέτι τὴν ἐπ' εὐθείας προκρίνει τάσιν, ἀλλὰ τὴν ἐγγώνιον πρὸς βραχίονα τοῦ ἀγκῶνος εἰς τὸ κάτω κατάτασιν, ὃν τρόπον καὶ κατεαγὼς ὁ βραχίων τείνεταί τε καὶ ἐπιδεῖται. ἡ δὲ μετὰ τὴν κατάτασιν διόρθωσις καὶ ὁ καταρτισμὸς [ἐ]γίνοιντ' ἂν ταῖς χερσὶν εἰς τὸ ἐναντίον, ὃν τρόπον διὰ τῶν ἔμπροσθεν δεδήλωκα. πλὴν καὶ ὁ Ἱπποκράτης οὕτως περὶ αὐτῶν διακαφεῖ (IV 132 L)· τὰς δὲ κατορθώσιας ἀπάγοντα ἐπὶ πλεῖον, ὡς μὴ ψαύῃ τῆς κορώνης ἡ κεφαλή, μετέωρον περιάγει⟨ν⟩ καὶ περικάμψαι καὶ ⟨μὴ⟩ ἐς εὐθὺ βιάζεσθαι· ἅμα δὲ ὠθεῖν τἀναντία ἑκατέραν καὶ παρωθεῖν εἰς χώρην. συνωφελοίη δ' ἂν ἐπίστρεψις ἀγκῶνος ἐν τούτοις, ἐν τῷ μὲν εἰς τὸ ὕπτιον, ἐν τῷ δὲ εἰς τὸ πρηνές. ὁ δὲ τῆς ἐμβολῆς τρόπος οὕτως ἂν δι' ὑποδείγματος γένοιτο.

(Tabvla X)

Περὶ δὲ τῶν ἄλλων τῶν τῆς ἐξαρθρήσεως τρόπων οὕτως μέμνηται (IV 132 L)· ἐμβολαὶ δὲ τοῦ μὲν ὀπίσω ἐκτείναντας κατατεῖναι· σημεῖον δέ· οὐ γὰρ δύνανται ⟨ἐκτείνειν· τοῦ δὲ ἔμπροσθεν, οὐ δύνανται⟩ συγκάμπτειν· τοῦτο δὲ, ἐνθέντα τι συνειλιγμένον σκληρὸν περὶ τοῦτο συγκάμψαι ἐξ ἐκτάσεως ἐξαίφνης. διατάσεως δὲ ὀστέων σημεῖον κατὰ τὴν φλέβα τὴν κατὰ βραχίονα σχιζομένην διαψαύοντι. ταῦτα δὲ ταχέως διαπωροῦται (IV 134 L)· τὰ δὲ ὄπισθεν ἐξαίφνης ἐκτείναντα διορθοῦν τοῖς θέναρσιν. τὴν μὲν οὖν εἰς τοὐπίσω τοῦ ἀγκῶνος ἐξάρθρησιν οὐκ ἀναγκαῖον διὰ τῶν ὑποδειγμάτων ὑπογράφειν — ἐκ γὰρ τῆς ⟨διὰ τῆς⟩ παρὰ φύσιν γεγενημένης κάμψεως μετατάσεως ἕκτασιν περιέχει μόνον καὶ τῶν ὄπισθεν ⟨διὰ⟩ τῆς χειρὸς καταρτισμόν — τὴν

---

2 τελέως ἐκβάντα ἔνθα 3 αὗται εἰσιν ὁλοχερεῖς δύο εἰσιν ἐξαρθρήσεις: correxi 7 ἐκθησωμαι 8 ἔσω ἢ ἔξω κατάτασις 10 τινὰ ἀνακρεμάσαι ἀγκωναρην δε μηκρῳ ὑποθεὶς παρὰ δὲ τὸ ἄρθρον 11 ὑπερεωρηθέντος 12 ὡς τὰς ἐν ἐπιδεσεις 15 κατεαγὼν γίνεται: corr. Dtz 16 ἐγινοιντ' ἂν: corr. Dtz 17 καὶ supra lineam supplevit manus prima καθάρσιας 19 περιάγει καὶ ἐς ὠήθην 23 τῆς ἐξαρθρήσεων: corr. Dtz 25 ἐκτιναντας 26 τοῦτο δὲ 27 συνηλιγμένον τούτων ἐκτάσεως ἐξεφνης διαστάσεως 29 ἐκτιναντα 31 ὑπομνημάτων υπογραφην: corr. Brinkmann ⟨διὰ τῆς⟩ R. Schoene; ⟨καὶ⟩ μετατάσεως Brinkmann 32 καὶ τὸν: corr. et ⟨διὰ⟩ suppl. Brinkmann

Digitized by Google

δὲ εἰς τὸ ἔμπροσθεν συμβαίνουσαν καταγράψω χάριν τοῦ δυναμένην συνθεωρη⟨θῆ⟩ναι παραιτίαν ὠφελείας γενέσθαι. διὸ καταρτίζοιτ' ἂν οὕτως.

(Tabvla XI)

Μετὰ τάδε ἑπομένως περὶ χειρὸς ἐξαρθρήσεως οὕτως διασαφεῖ (IV 136 L)· χειρὸς δὲ ἄρθρον ὁλισθάνει ἥ[ν] εἴσω ἢ ἔξω, εἴσω δὲ τὰ πλεῖστα. σημεῖα δὲ εὔσημα. ἐμβολή· ὑπὲρ τραπέζης τοὺς δακτύλους ἔχων τοὺς μὲν τείνειν, τοὺς δὲ ἀντιτείνειν, τὸ δὲ ἐξέχον ἢ θέναρι ἢ πτέρνῃ ἅμα ἀπωθεῖν καὶ ὠθεῖν πρόσω κάτωθεν κατὰ τὸ ἕτερον ὀστέον ὄγκον μαλακὸν ὑποθείς, ἣν μὲν ἄνω, καταστρέψας τὴν χεῖρα, ἣν δὲ κάτω, ὑπτίην. ἴησις ὀθονίῳ. ἐπὶ τούτων τὸ ἐναντίον σεσήμαγκε, διότι ὁπότερον τῶν ὀστέων ἐξαρθρῆ⟨σαν⟩ μόνον εἰς τὸ εἴσω καὶ εἰς τὸ ⟨ἔξω⟩ παρολισθάνει μέρος, εἰς δὲ τὸ ἄνω ⟨καὶ⟩ εἰς τὸ κάτω τὸ τοιοῦτον οὐδαμῶς συμβαίνειν δύνα[ν]ται χωρὶς τῆς ἑκατέρων ἐκκλίσεως. ἐχομένως γε οὖν οὕτως ὑπογέγραφεν (IV 138 L)· ὅλη δὲ χεὶρ ὀλισθάνει ἢ εἴσω ἢ ἔξω ἢ ἔνθα ἢ ἔνθα, μάλιστα δὲ εἴσω. ἔστι δ' ὅτε ἡ ἐπίφυσις ἐκινήθη. ἔστι δ' ὅτε τὸ ἕτερον τῶν ὀστέων διέστη. τούτοις ἡ κατάτασις ἰσχυρὴ ποιητέη καὶ τὸ μὲν ἐξέχον ἀπωθεῖν, τὸ δὲ ἕτερον ἀντωθεῖν· δύο δὲ εἴδη ἅμα ἐς τοὐπίσω καὶ ἐς τὸ πλάγιον χερσὶν ἐπὶ τραπέζης ἢ πτέρνῃ· παλίγκοτα τάδε καὶ ἀσχήμονα. τῷ χρόνῳ ⟨δὲ⟩ κρατύνεται. ἦν χρήσιμον. ὡς ἐπὶ πᾶν γὰρ καὶ μάλιστ' ἡ ὁλοσχερὴς τῆς χειρὸς ἐξάρθρησις οὐ δύναται καταρτισθῆναι κατὰ τρόπον, ἀλλὰ διεστραμμένη φαίνεται. αἱ μὲν οὖν εἰς τὰ πλάγια παραρθρήσεις διὰ τῆς κατατάσεως καὶ τῆς εἰς τὰ ἐναντία τῶν ὑπερεχόντων ἐνθλίψεως καταρτίζοιντ' ἄν· αἱ δὲ ἔσω ἢ ἔξω γινόμεναι καθάπερ προυποδέδειχεν· τῆς ⟨χειρὸς⟩ ἐπὶ τραπέζης κατὰ τὸ ἐναντίον τιθεμένης ἢ τῇ χειρὶ ἢ τῇ πτέρνῃ τὰ ἐξέχοντα καταβιβασθήσεται. χρηστέον δὲ τῷ τοιούτῳ τρόπῳ πρότερον.

(Tabvla XII)

Ἐὰν δὲ τὸ θέναρ ἐπερειδόντων ἡμῶν μὴ ὑπακούῃ, βιαστέον διὰ τῆς πτέρνης, καθάπερ προείρηται, χρωμένους τούτῳ τῷ τρόπῳ.

(Tabvla XIII)

Περὶ δὲ δακτύλων οὕτως ἀπεφήνατο (IV 138 L)· δακτύλου δὲ ἄρθρον ⟨ὀλισθὸν⟩ μὲν εὔσημον. ἐμβολὴ δὲ· κατατείναντα ἐς ἰθὺ τὸ μὲν ἐξέχον ἀπωθέειν, τὸ δὲ ἐναντίον ἀντωθέειν. ἴησις δὲ ἰσταιτι ἢ ὀθονίοισι. μὴ ἐμπεσὸν δὲ ἐπιπωροῦται

---

1 συνθεωρηναι: corr. Dtz ὠφελειαν: corr. Dtz 4 επομενος: corr. Dtz 5 ολισθανη ην εισω η εξω· εισω πλιστα 7 εξεχων ἡ θεναρη αποθεῖν 8 ὑπόθες 9 ηεισις 10 ἐξαρθρή: correxi ⟨ἔξω⟩ supplevi παρολισθάνη: correxi; παρολισθάνον Dtz 11 καὶ inseruit Dtz ουδαμος συμβαινην δυνανται: corr. Dtz 12 εκκλησεων: ἐκβλήσεως Dtz; correxi ἐχομενος ολισθανη 13 εκινήθη in mg. addidit manus ea, quae imaginibus titulos adscripsit 14 ποιεῖται 15 ἀποθεῖ ἀντωθεῖ 16 εις bis 15 κρατυνεται ἡν χρησιμον 18 φενεται 19 ἐς correxi παραρθρησις εις 20 καταρτίζοιτ' ἂν: corr. Dtz 21 χειρὸς inseruit Dtz τὸ εξεχόντα corr. Dtz 22 χριστέον δὲ τὸ: corr. Dtz 24 ἐπερειδώντων: corr. Dtz 27 incip. fol. 197 v a: in mg. superiore ΡΙΔ; dein περὶ δακτύλων 29 κατατειναντες ες 30 ἴσταιτι ἡ: ἡ σταιτι Dtz; f. ἡ ταινίῃ

Digitized by Google

ἔξω. βραχυλόγω⟨ς⟩ σφόδρα ἐν τούτοις ἀνέστραπται διὰ τὸ τοῦ πράγματος εὐκαταμάθητον. οὐ μὴν ἀλλὰ καὶ Διοκλῆς τὸν τρόπον τοῦτον μέμνηται· δακτύλου μὲν ἄρθρον ἄν τε ποδὸς ἄν τε χειρὸς ἐκπέσῃ, τετραχῶς ἐκπίπτει, ἢ ἐντὸς ἢ ἐκτὸς ἢ εἰς τὰ πλάγια. ὅπως δ' ἂν ἐκπέσῃ, ῥᾴδιον γνῶναι πρὸς τὸ ὁμώνυμον καὶ τὸ ὑγιὲς θεωροῦντα. ἐμβάλλειν δὲ κατατείνοντα εὐθὺ ἀπὸ χειρῶν, περιελίξαι τε ὅπως μὴ ἐξολισθάνῃ. ἀστεῖον δὲ καὶ τὰς καύρας, ἃς οἱ παῖδες πλέκουσι, περιθέντα περὶ ἄκρον τὸν δάκτυλον κατατείνειν, ἐκ δὲ τοῦ ἑπὶ θάτερα ταῖς χερσίν.

Περὶ γνάθου.

Ἑπομένως δὲ ὁ Ἱπποκράτης περὶ ἐξαρθρήσεως γνάθου, τῆς δὴ σιαγόνος ὑπό τινων λεγομένης, διὰ τούτων κατακεχώρικεν (IV 140 L)· γνάθος δὲ ὀλίγοις ἤδη τελέως ἐξήρθρησεν. ὀστέον γὰρ τὸ ἀπὸ τῆς ἄνω γνάθου πεφυκὸς ὑπεζύγωται πρὸς τῷ ὑπὸ τὸ οὖς ὀστέῳ πεφυκότι· καὶ προβὰς ἐπιλέγει (IV 142 L)· ἐκπέσοι δ' ἂν ἀπ' οὐδενὸς ἄλλου σχήματος ἢ ἀπὸ τοῦ μέγα χανόντα μετάγειν τὴν γένυν ἐπὶ θάτερα. εἶτεν μετ' ὀλίγους ἀριθμοὺς τά τε σημεῖα τὰ παρακολουθοῦντα καὶ τὸν καταρτισμὸν οὕτω παρέστακεν (IV 142 L)· περὶ οὗ οὖν ὁ λόγος, ἐκπίπτει μὲν γνάθος ὀλιγάκις, ⟨σχᾶται μέντοι πολλάκις⟩ ἐν χασμήσει. δῆλον μὲν οὖν τοῖσδε μάλιστά ἐστιν ὅταν ἐκπεπτώκῃ. προίσχεται γὰρ ἡ κάτω γνάθος εἰς τὸ ἔμπροσθεν καὶ παρῆκται ἐναντία τοῦ ὀλισθήματος, καὶ τοῦ ὀστέου τὸ κορωνὸν ὀγκηρὸν γίνεται παρὰ τὴν ἄνω γνάθον, καὶ χαλεπῶς συμβάλλουσιν τὰς γνάθους. τούτοις ἐμβολὴ πρόδηλος, οἵη τις ⟨γίνοιτ' ἂν ἁρμόζουσα⟩. χρὴ γὰρ τὸν μὲν κατέχειν τὴν κεφαλήν, τὸν δὲ περιλαβόντα τὴν κάτω γνάθον καὶ ἔσωθεν καὶ ἔξωθεν τοῖς δακτύλοις κατὰ τὸ γένειον, χάσκοντος τοῦ ἀνθρώπου, ὅσον μετρίως δύναται, πρῶτον μὲν διακινεῖν τὴν γνάθον χρόνον τινὰ ⟨τῇ⟩ καὶ τῇ παράγοντα τῇ χειρὶ καὶ αὐτὸν τὸν ἄνθρωπον κελεύειν χαλαρὴν τὴν γνάθον συμπαράγειν καὶ συνδιδόναι ὡς μάλιστα, ἔπειτα ἐξαπίνης σπάσαι εἰς τοὐπίσω καὶ ἀναλήψει γενείου τριῶν ὁμοῦ σχήμασιν προσέχοντα τὸν νοῦν. δεῖ μὲν γὰρ παραγενέσθαι ἐκ τῆς διαστροφῆς εἰς τὴν φύσιν, ⟨δεῖ δὲ ἐς τοὐπίσω ἀπωσθῆναι τὴν γνάθον τὴν κάτω, δεῖ δὲ⟩ ἑπόμενον τούτοις καὶ συμβάλλειν τὰς γνάθους καὶ μὴ χάσκειν. ἐμβολὴ μὲν οὖν αὕτη, καὶ οὐκ ἂν γένοιτο ἀπ' ἄλλων σχημάτων. καὶ οὕτως πάλιν (IV 144 L)· ἀσφα-

2 sq. Haec sumpta esse ex libro περὶ ἐπιδέσμων a Diocle Carystio conscripto evincitur collatis eis, quae Galenus t. XVIII A p. 519 Kuehn habet. Adde hos duos locos fragmentis Dioclis a Kuehnio congestis Opusculorum academicorum II p. 86—127.

1 βραχυλόγω σφοδρῶ: corr. Brinkmann 2 f. τοῦ τρόπου τούτου 3 ἐκπίπτη 4 καὶ τοῦ ὑγιές 5 κατατείνοντι: correxi περιελίξας: correxi; 'f. κατατείνοντα — περιελίξαντα' Dtz 6 ἀστέον: correxi; ἰστέον Dtz cιρας: correxi coll. Hippocr. IV 319 sq., quo loco Diocles usus est. καύρα ligamenti nomen a similitudine bestiolae ductum 6 ἄκρον τῶν δακτύλων: corr. Brinkmann 9 in mg. sinistra: ΠΕ περὶ γνάθου ἑπόμενος: corr. Dtz ἐξαρθρισεως δη ex δι fecit m. 1 11 απεζύγοται ὑπο του οὖς 15 ἐκπίπτη 16 δήλος 19 χαλεπος προδηλως 21 δακτυλοις 22 γενιον 23 και τι 25 εξαπεινης 28 χάσκην

λέστερον δὲ χειρουργεῖν ἐστιν ὕπτιον κατακλίνοντα τὸν ἄνθρωπον, ἐρείσαντα τὴν κεφαλὴν αὐτοῦ ἐπὶ σκυτίνου ὑποκεφαλαίου ὡς πληρεστάτου, ἵνα ὡς ἥκιστα ὑποκλίνῃ. προσκατέχειν χρὴ δέ τινα τὴν κεφαλὴν τοῦ ἰωμένου. ἢν δὲ ἀμφότεραι αἱ γνάθοι ἐξαρθρήσωσιν, ἡ μὲν ἴησις ἡ αὐτή. συμβάλλειν δὲ ἧσσον ἔτι οὗτοι τὸ στόμα δύνανται. καὶ προπετέστεραι δὲ γένυες τούτοισιν, ἀστραβεῖς δέ. ταῦτα ἀναγκαῖον ἦν καταχωρίσαι χάριν τοῦ μηδέν σε τῶν περὶ ἄρθρων λεγομένων διαλαθεῖν.

(Tabvla XIV)

Περὶ σπονδύλων.

Ἀεὶ δὲ τὴν τῶν ὑποδειγμάτων οὐκ ἐπιτήδειον εἶναι διέλαβον ὑπογραφὴν ποιήσασθαι. ἃ δὲ ἐχομένως περὶ σπονδύλων τῶν ἐν τῇ ῥάχει διασαφεῖ, διὰ τούτων ὑποτάξω (IV 182 L)· ὅσοις δὲ ἐκ καταπτώσεως ῥάχις κυφοῦται, ὀλίγα δὴ τούτων ἐκρατήθη ὥστε ἐξιθυνθῆναι. τοῦτο μὲν γὰρ αἱ ἐν τῇ κλίμακι κατατάσιες οὐδένα πω ἐξίθυναν, ὧν ἐγὼ οἶδα. χρέονται δὲ ἰητροὶ αὐτῇ μάλιστα οὗτοι οἳ ἐπιθυμοῦνται ἐκχαυνοῦν τὸν πολὺν λαόν. ἐν τοῖσι γὰρ τ⟨οι⟩ούτοισι ταῦτα θαυμαστά ἐστιν, ἢν ἢ κρεμάμενον ἴδωσιν ἢ ῥιπτόμενον. οὐ κατὰ πᾶν ἀδόκιμον οἶεται εἶναι τὴν τοιαύτην τῆς χειρουργίας ἐπίνοιαν, ἀλλά που καὶ δυνατὸν ἔσεσθαι δεόντως σκευασθεῖσαν πρὸς τὸν τῶν σπονδύλων καταρτισμόν. ὅμως δὲ ἐξεπίτηδες ἐκκεκλικέναι τὰ τοιαῦτά φησι λέγων οὕτως (IV 184 L)· αὐτὸς μέντοι κατησχύνθην πάντα ⟨τὰ⟩ τοιουτότροπα ἰητρεύειν οὕτω διὰ τοῦτο, ὅτι πρὸς ἀπατεώνων μᾶλλον οἱ τρόποι οὗτοι. ὁπόσοις μὲν οὖν ἐγγὺς τοῦ αὐχένος ἡ κύφωσις γίνεται, εἰκὸς ἦσσον ὠφελεῖν τὰς κατατάσεις ταύτας τὰς ἐπὶ κεφαλήν. μικρὸν γὰρ τὸ βάρος καὶ τὰ ἀκρώμια καταρρέ⟨π⟩οντα. ἀλλὰ τούς γε τοιούτους εἰκὸς ἐπὶ πόδας κατασεισθέντας μᾶλλον ἐξιθυνθῆναι· μέζων γὰρ ἂ⟨ν ο⟩ὕτως ἡ καταρροπὴ εἴη· ὅσοις [γὰρ] δὲ κατωτέρω τὸ ὕβωμα, τούτοις ἔοικε μᾶλλον ἐπὶ κεφαλὴν κατασείεσθαι. ὑφέσταται δὲ τὴν ἐπὶ κεφαλὴν κατάσειειν οὕτως ἂν γίνεσθαι δεόντως ὑπὸ τῶν αἰρουμένων αὐτῇ χρῆσθαι, καταχωρίζων τὸν τρόπον τοῦτον (IV 184 L)· εἰ οὖν τις θέλοι κατασείειν, ὀρθῶς ἂν ὧδε σκευάζοι. τὴν μὲν γὰρ κλίμακα ἢ σκυτίνοις ὑποκεφαλαίοις ἢ εἰρινοῖς καταστρῶσαι εὖ προσδεδεμένοις καὶ ὀλίγῳ πλεῖον ἐπὶ μῆκος καὶ ἔνθεν καὶ ἔνθεν ἢ ὅσον ⟨ἂν⟩ τὸ σῶμα τοῦ ἀνθρώπου κατάσχῃ· ἐπιτείναντα τὸν ἄνθρωπον ὕπτιον κατακλῖναι ἐπὶ τὴν κλίμακα χρή, καὶ ἔπειτα προ⟨ς⟩δῆσαι μὲν χρὴ τοὺς πόδας παρὰ τὰ σφυρὰ πρὸς

---

1 ἐρισαντα 2 ὑπο σκυτίνου ἐπικεφαλέου 5 τούτοις 10 inc. fol. 199 r a; in mg. sup. CIZ, paulo infra περι σπονδύλων δεῖ: ἤδη Diz; correxi; cf. p. 2, 12; 10, 22; 11, 30. f. τὴν ⟨διὰ⟩ ποιείσασθαι 11 ραχη 12 καταπτοσεως ραχης κοιφοῦται 13 ουδεν αποεξιθυναν ὃν 15 τούτοισι 16 ριπτομενα· εὐ: corr. Diz 17 δυνατὸν servavi 19 κατεσχυνθη παντα τοιουτο τροπω 20 απατεων 21 κατατασεις 22 καταῤῥέοντα 24 μεζω γαρ αὐτως ἡ καταρροπὴ εἶ ὅσοις γὰρ δὲ 25 ὑπὸ κεφαλην κατασιεσθαι κατασειειν 26 αὐτῷ χρεῖσθαι 28 υποκεφαλεοις ἡ ειρινοις 29 ἔνθεν ησσον το 30 επιτεναντα: f. ἔπειτα 31 προδῆσαι

τὴν κλίμακα καὶ μὴ διακεεντα ἀλλὰ συμβεβηκότα, δεσμῷ [δ']εὐόχῳ μέν, μαλθακῷ δέ· προσδῆσαι δὲ κατωτέρω τῶν γονάτων καὶ ἀνωτέρω· προσδῆσαι δὲ καὶ τὰ ἰσχία· κατὰ δὲ τοὺς κενεῶνας καὶ εἰς τὸ στῆθος χαλαραῖς ταινίαις προσπεριβάλλειν οὕτως ὅπως μὴ κωλύσωσι τὴν πέρασιν· τὰς δὲ χεῖρας παρὰ τὰς πλευρὰς παρατείνοντα προσκαταλαβεῖν πρὸς τὸ αὐτοῦ σῶμα καὶ μὴ πρὸς τὴν κλίμακα. ὅταν δὲ ταῦτα σκευάσῃ οὕτως, ἀνέλκειν τὴν κλίμακα πρὸς τύρσιν τινὰ ὑψηλὴν ἢ πρὸς ἀέτωμα οἴκου. τὸ δὲ χωρίον ἵνα κατασείεις ἀντίτυπον ἔστω. τοὺς δὲ ἀνατείνοντας εὐπαιδεύτους χρὴ εἶναι, ὅπως ὁμαλῶς καὶ καλῶς καὶ ἰσορρόπως καὶ ἐξαπιναίως ἀφήσωσι καὶ μήτε ἡ κλῖμαξ ἑτερορρεπῇ ἐπὶ τὴν γῆν μήτε αὐτοὶ προπετεῖς ἔσονται. ἀπὸ μέντοι τύρσιος ἀφιεὶς ἢ ἀπὸ ἱστοῦ καταπεπηγότος καρχήσιον ἔχοντος ἔτι κάλλιον ἄν τις σκευάσαιτο, ὥστε ἀπὸ τροχιλίης τὰ χαλώμενα ὅπλα εἶναι ἢ ἀπὸ ὄνου. ἀηδὲς μὲν καὶ μακρολογεῖν περὶ αὐτῶν τούτων, ὅμως δ' ἐκ τούτων τῶν παρασκευῶν κάλλιστα ἄν τις κατασεισθείη. ἡ διὰ τῆς ὑποδεδειγμένης [διὰ τῆς] κλίμακος ἐπὶ κεφαλὴν κατάτασις [ἐκ] τοῦτον ἂν τὸν τρόπον γίνοιτο.

(Tabvla XV)

Περὶ δὲ τῆς ἑτέρας κατασείσεως οὕτως ὑπογέγραφεν (IV 188 L)· εἰ μέντοι κάρτα ἄνω εἴη τὸ ὕβωμα, δέοι δὲ πάντως κατασείειν, ἐπὶ πόδας κατασείειν λυσιτελεῖ, ὥσπερ ⟨ἤ⟩δη εἰρήκαμεν. γίνεται δὲ ἡ καταρροπὴ ἐπὶ ταῦτα· ἑρμάσαι δὲ χρὴ κατὰ μὲν τὸ στῆθος πρὸς τὴν κλίμακα προσδήσαντα, δῆσαι δὲ ὀχυρῶς τὸν αὐχένα ὡς χαλαρωτάτῃ ταινίῃ ὅσον τοῦ κατορθοῦσθαι ἕνεκα· καὶ αὐτὴν τὴν κεφαλὴν κατὰ τὸ μέτωπον προσδῆσαι πρὸς τὴν κλίμακα, τὰς δὲ χεῖρας παρατανύσαντα πρὸς τὸ σῶμα προσδῆσαι καὶ μὴ πρὸς τὴν κλίμακα· τὸ μέντοι ἄλλο σῶμα ἄδετον εἶναι, πλὴν ὅσον τοῦ κατορθοῦσθαι ἕνεκα ἄλλῃ καὶ ἄλλῃ ταινίῃ χαλαρῇ περιβεβλῆσθαι. ὅπως δὲ μὴ κωλύσωσι τὴν κατάτασιν οὗτοι οἱ δεσμοί. τὰ δὲ σκέλη πρὸς μὲν τὴν κλίμακα μὴ προσδεδέσθαι, πρὸς ἄλληλα δὲ ὡς κατὰ τὴν ῥάχιν εἰς εὐθὺ ῥέπῃ. ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον διηρίθμηται· τὴν δὲ ἐπὶ πόδας κατάσεισιν οὕτως χρὴ ποιεῖσθαι.

(Tabvla XVI)

Ὅτι δὲ οὐχ ὁλοσχερῶς εὐαρεστεῖ ταῖς τοιαύταις κατατάσεσι, δῆλον ἔτι ἐξ ὧν οὕτως ἐπιφέρει (IV 188 L)· ταῦτα μέντοι τοιουτοτρόπως ποιητέον, εἰ πάντως δέοι ἐν κλίμακι κατασεισθῆναι. αἰσχρὸν μὲν ἐν πάσῃ τέχνῃ καὶ οὐχ ἥκιστα ἐν ἰητρικῇ

1 κλίμακα καὶ μη διακεεντα αλλα δεσμῶ δε ὅκοι μεν 3 τενίαις 4 κολυσωσιν 6 προσσύρσιν 7 τῶ δὲ κατασεισῃ 8 αντιτεινοντας ισορροπος καὶ ἐξαπεινεως 11 σκευάσοιτο ὡς γε τροχηλλέης 12 ἀειδὲς μακρολέγειν 13 διὰ τῆς ὑποδεδειγμένης διὰ τῆς κλίμακος: correxi 14 κατάτασις: exspectes κατάσεισις; sed cf. v. 27 [εκ] seclusi; κατὰ Dtz 17 λυσιτελῆ 18 δὴ: correxi ex Hipp. libris ἐπὶ ταυτα δε ὁρμασαι χρη 19 κλιμακα αποθησαι· δῆσαι δε ὀχοιρως καταδεῖν τὸν αυχενα ἕως 20 τενειη κατωρθοῦσθαι 23 τενίη περιβεβλεισθαι 25 ῥάχην ρεπει 28 ολοσχερος: corr. Dtz δῆλον ὅτι: correxi coll. p. 14, 17; 'f. ἐστι' Dtz 29 μεντοι ουτω τροπως ποιητεον ἔχει· παντως 30 οὐκ

Digitized by Google

πολὺν ὄχλον παρασχόντα καὶ πολλὴν ὄψιν καὶ πολὺν λόγον [καὶ] ἔπειτα μηδὲν ὠφελῆσαι. ὅθεν ἐν τοῖς ἐφεξῆς, ὃν τρόπον δεῖ τοὺς εἰς τὸ ἐκτὸς ἐκκλίναντας σπονδύλους καταρτίζειν, οὕτως ὑπογέγραφεν (IV 202 L)· χρὴ δὲ τὴν κατασκευὴν τοῦ διαναγκαζομένου τοιήνδε κατασκευάσαι. ἔξεστι μὲν ξύλον ἰσχυρὸν καὶ πλατὺ ἐντομὴν ⟨....⟩ παραμήκεα ἐντέμνειν ἀνωτέρω τοῦ ἐδάφεος, ὅπως ἂν μετρίως ἔχῃ· ἔπειτα οἷον στῦλον ὀρύϊνον, τετράγωνον, πλάγιον παραβάλλειν ἀπολιπόντα ἀπὸ τοῦ τοίχου ὅσον παρελθεῖν τινα ἦν δέῃ· καὶ ἐπὶ μὲν τὸν στῦλον ὑποστρῶσαι χλαίνας ἢ ἄλλο τι ⟨ὃ⟩ μαλθακὸν μὲν ἔσται, ὑπείξει δὲ μὴ μέγα· τὸν δὲ ἄνθρωπον πυριᾶσαι, ἢν ἐνδέχηται, ἢ θερμῷ πολλῷ λοῦσαι καὶ ἔπειτα κατατεῖναι πρηνέα, κατατείναντα δὲ τὰς χεῖρας κατὰ φύσιν προσδῆσαι πρὸς τὸ σῶμα· ἱμάντι ⟨δὲ⟩ πλατεῖ καὶ ἰσχυρῷ, μαλθακῷ δὲ καὶ μακρῷ ἐκ δύο διανταίων συμβεβλημένῳ μέσῳ κατὰ μέσον τὸ στῆθος δὶς περιβεβλῆσθαι ὡς ἐγγυτάτω τῶν μασχαλέων· ἔπειτεν τὸ περισσεῦον τῶν δύο ἱμάντων κατὰ τὴν μασχάλην ἑκάτερον περὶ τοὺς ὤμους περιβεβλῆσθαι. ἔπειτα αἱ ἀρχαὶ πρὸς ὑπεροειδές τι προσδεδέσθωσαν [αἱ] ἁρμόσουσαι τὸ μῆκος τῷ ⟨ξύ⟩λῳ τῷ ὑποτεταγμένῳ πρὸς τὸ προσβαλλον τὸ ὑπεροειδὲς ἀποστηρίζειν κατατεινη τοιούτῳ δέ τινι ἑτέρῳ δεσμῷ χρὴ ἄνωθεν τῶν τοῦ γόνατος δεσμῶν δήσαντα καὶ ἄνωθεν τῶν πτερνῶν τὰς ἀρχὰς τῶν ἱμάντων πρὸς τοιοῦτό τι ξύλον προσδῆσαι, ἄνω δὲ ἄλλῳ ἱμάντι πλατεῖ καὶ ⟨.....⟩

Μετὰ δὲ τὰ προκείμενα οὕτως ἐπιλέγει (IV 206 L)· καὶ ἀκινεστάτη μὲν αὕτη ἡ ἀνάγκη· ἀκινὴς δὲ καὶ καθέζεσθαί τινα ἐπὶ τὸ κύφωμα αὐτοῦ ἅμα κατατεινομένου καὶ ἐπενεῖσαι μετεωρισθέντα· ὥστε τῆς αὐτῆς κατατάσεως ἢ καὶ ⟨τῆς⟩ δι' ὀνίσκων γινομένης, ἀντὶ τοῦ ταῖς χερσὶ πιέζειν διὰ τῆς καθέδρας ἐπερείδοντας ἢ καὶ ἐνείροντας, ἀναγκάζειν τὸ ὑπερέχον τῶν σφονδύλων εἰς τὸ κατὰ φύσιν ἀποχωρεῖν. ὃν τρόπον δὲ δεῖ ⟨τὸν καταρτισμὸν⟩ ποιεῖσθαι, οὕτως ὑποτέτακται.

(Tabvla XVII)

Ἑπομένως δὲ ταῦτα κατακεχώρικεν (IV 206 L)· ἀτὰρ καὶ ἐπιβῆναι τῷ ποδὶ καὶ ὀχηθῆναι τὸ σῶμα καὶ ἡσύχως ἐπισεῖσαι οὐδὲν κωλύει. τοιοῦτον δὲ ποιῆσαι μετρίως ἐπιτήδειος ἄν τις εἴη τῶν ἀμφὶ παλαίστρην εἰθισμένων. καὶ οὗτος δὲ ὁ τρόπος οὕτως ἂν ἐπιτελοῖτο διαλλάσσων τῇ διὰ τῶν ὀνίσκων κατατάσει. δεῖ δὲ τοὺς ὀνίσκους ἤτοι παρὰ τὴν ὑποτιθεμένην τῷ μέλλοντι κατα⟨τα⟩θήσεσθαι σανίδα κατορύσσειν ἢ ἐπ' αὐτῆς ἐμπηγνύναι.

(Tabvla XVIII)

---

2 δη 4 ἐντομή 5 εδαφεως ἔχει οἷον ξύλον 6 τετραγονον 8 πυρῆσαι 9 κατατείνας 11 διαντέω 12 περιβεβλεισθαι τω περισσεῦον 13 τῶν ἱμάντων δύο: correxi 14 περιβεβλεισθαι ὑπερωειδές αι ἁρμοσουσαι τὸ μῆκος τῶ νωτω υποτεταγμενω προς το προσβάλλον το υπερωειδες ἀποστηριζειν κατατεινή 16 δεσμῶν ἦν ανωθεν τῶν τοῦ γονατων δεσμων 18 in fine fol. 201ᵛ b; dein unum folium codicis deest; fol. 202ᵛ in mg. inferiore m. recentior scripsit ἁπεστι ἐν φύλλον 19 προκινούμενα: correxi ἀσθενεστάτη αὕτη ἀνάγκη 21 επεσεισαι κατατάσιος ⟨τῆς⟩ addidi 22 πιεζην ενσιοντας 23 την υπερεχοντων σφονδύλων 24 supplevit Brinkmann 26 επομενος ἀνακεχώρικεν: correxi 27 ποιεῖσαι 28 παλεστρη οὕτως δὲ 30 εἴτοι καταθησεσθαι: corr. Dtz ει επ' αυτης ενπηγνύναι

Ὃν τρόπον δὲ ἐπὶ τῆς τοῦ ὤμου ἐμβολῆς τὸν ἐπὶ πᾶσι καταρτισμὸν δυνατώτατον ὄντα κατακεχώρικεν, οὕτως καὶ ἐπὶ τῶν παρόντων τὸ ὅμοιον πεποίηκεν, ἑξῆς τὸν τρόπον τοῦτον διασαφῶν (IV 206 L)· δυνατωτάτη[ν] μὲν οὖν τῶν ἀναγκέων ἐστί, εἰ ὁ μὲν τοῖχος ἐντέτμηται, τὸ ⟨δὲ⟩ ξύλον τὸ κατωρυγμένον ᾖ ἐντέτμηται κατωτέρω εἴη τοῦ ἀνθρώπου τῆς ῥάχιος, ὅπως ἂν δοκέοι μετρίως ἔχειν, κανὶς ⟨δὲ⟩ φιλυρίνη μὴ λεπτὴ εἴη ἢ καὶ ἄλλου τινὸς ξύλου. ἔπειτ' ἐπὶ μὲν τὸ ὕβωμα ἐπιτεθείη τρύχιον πολύπτυχον ἢ μικρὸν σκύτινον ὑποκεφάλαιον. ὡς ἐλάχιστα μὴν ἐπικεῖσθαι συμφέρει, μόνον προμηθευόμενον, ὅπως μὴ ἡ κανὶς ὑπὸ σκληρότητος ὀδύνην παρὰ καιρὸν παρέχῃ. κατ' ἴξιν δὲ ὡς μάλιστα ἔστω τῇ ἐντομῇ τῇ εἰς τὸν τοῖχον τὸ κύφωμα, ὡς ἡ κανίς, ᾗ μάλιστα ἐξέστηκεν, ταύτῃ μάλιστα πιέζῃ ἐπιτεθεῖσα. ὅταν δὲ ἐπιτεθῇ, τὸν μέν τινα καταναγκάζειν χρὴ τῆς κανίδος τὸ ἄκρον, ἤν τε ἕνα δέῃ ἤν τε δύο, τοὺς δὲ κατατείνειν τὸ σῶμα κατὰ μῆκος, ὥσπερ πρόσθεν εἴρηται, τοὺς μὲν τῇ, τοὺς δὲ τῇ. ἔξεστιν δὲ καὶ ὀνίσκοις κατάτασιν ποιεῖσθαι ἢ παρακατορύξαντα ⟨παρὰ⟩ τὸ ξύλον ἢ ἐν αὐτῷ τῷ ξύλῳ τὰς φλιὰς τῶν ὀνίσκων ἐντεκτηνάμενον, ἤν τε ὀρ[νι]θὰς θέλῃ μικρὸν ὑπερεχούσας, ἤν τε κατὰ κορυφὴν [τὸ] τοῦ ξύλου ἔνθεν καὶ ἔνθεν. αὗται ἀνάγκαι εὐταμίευτοι καὶ εἰς τὸ ἰσχυρότερον καὶ εἰς τὸ ἧσσον, καὶ ἰσχὺν ἔχουσιν τοιαύτην, ὥστε καὶ εἴ τις ἐπὶ λύμῃ βούλοιτο, ἀλλὰ μὴ ἐπὶ ἰητρείῃ, εἰς τοιαύτας ἀνάγκας ἀγαγεῖν. καὶ γὰρ ἂν κατατείνων κατὰ μῆκος μόνον ἔνθεν καὶ ἔνθεν οὕτως καὶ ἄλλην ἀνάγκην μηδεμίαν προστιθεὶς ὅμως κατατείνειεν ἄν τις. ἡ δὲ προκειμένη κατάτασις καὶ ἡ τῆς κανίδος μοχλεία τοῦτον ἂν τὸν τρόπον γίνοιτο.

(Tabvla XIX)

Περὶ μὲν ἀγκῶνος καὶ καρποῦ καὶ τῶν εἰς τὸ ἔξω προ[c]ωθουμένων σπονδύλων καταρτισμοῦ, καθ' ὅσον ἦν δυνατόν, διὰ τῶν ὑποδειγμάτων πεποίηκά σοι φανερὸν οὐ κατ' ἄλλον τινὰ τῶν ἰατρῶν, ἀλλὰ καθ' Ἱπποκράτην ὑπὲρ τῶν ὑφηγησαμένων λόγων, καθάπερ καὶ ἐν τῷ πρὸ τούτου βιβλίῳ τὰ περὶ ὤμου καταρτισμοῦ ἐκδέδωκά σοι. τοὺς δ' ἔτι λειπομένους τῶν ἐμβολῶν τρόπους μηροῦ τε καὶ γόνατος καὶ σφυροῦ κατ' ἰδίαν παραπλησίως καταγράψας ἐφ' ὧν [ὑποδειγμάτων] δυνατὸν ἐκδώσω σοι, ὥστ' ἐν τοῖς τρισὶ βιβλίοις τετελειωμένην ἔχειν σε τὴν καθ' Ἱπποκράτην περὶ ἄρθρων οὐκ ἀνωφέλητον θεωρίαν.

---

3 δυνατωτατην αναγκαιων εστι· ει 4 τύχος εντετμιται το ξυλον τω κατωρυγμενον κατοτερω 5 οπωσῶν δοκεοι 6 επιτεθει· ἡ τρυχιον 8 σκληροτιτος 9 παρεχειν και ταξειν εν τῶ τη εντωμη εις τον τυχον 10 μαλλιστα πιεζειν 11 ἡντινα δέη 14 τὰς φιαλας 15 εντεκτειναμενος ὀρνιθας 16 κατα κουρην τὸ του ξυλου αὗται ἀναγκαι ευταμειευται 16 εις bis 17 ἰσον 18 ιατριη εις τοιαυτας αναγκας αγαγεῖν 20 κατατεινειν εαν της και ει 20 f. ⟨διά⟩ τῆς κανίδος 21 μοχλία 23 προσωθουμένων: corr. Dtz 25 λόγον: corr. Dtz; f. ὑφηγησομένων; ὑφηγημένων Brinkmann 26 καταρτίσας: correxi 28 [ὑποδειγμάτων] Brinkmann τετελιωμενην

Digitized by Google

ΑΠΟΛΛΩΝΙΟΥ ΚΙΤΙΕΩΣ

ΤΗΣ ΠΕΡΙ ΑΡΘΡΩΝ ΠΡΑΓΜΑΤΕΙΑΣ

⟨ΤΟ ΤΡΙΤΟΝ⟩

Ἐν μὲν τῷ πρώτῳ βιβλίῳ, βασιλεῦ Πτολεμαῖε, διαπεσάφηκά σοι, ὃν τρόπον ἄν τις καθ' Ἱπποκράτην ὦμον ἐξηρθρηκότα σημειώσαιτό τε ⟨καὶ⟩ καταρτίσειεν· ἐν δὲ τῷ πρὸ τούτου περί τε ἀγκῶνος καὶ καρποῦ καὶ σφονδύλων κυφ⟨ώς⟩εως παραπλησίως διὰ τῶν ὑποδειγμάτων ⟨σ⟩οι ἐκτέθειμαι ὃν τρόπον τ' αὐτῶν δεῖ τὸν καταρτισμὸν ποιεῖσθαι· ἐν δὲ τούτῳ τῷ βιβλίῳ περί τε μηροῦ καὶ γόνατος καὶ σφυροῦ τάς τε σημειώσεις τῶν ἐξηρθρηκότων καὶ τὰς ἐμβολὰς αὐτῶν, ἐφ' ὧν δυνατόν, διὰ τῶν ὑποδειγμάτων παραπλησίως τοῖς εἰρημένοις ἐκθήσομαι, ἵν' ἐν τρισὶν βιβλίοις τελειουμένην ἔχῃς τὴν καθ' Ἱπποκράτην περὶ τῶν ἄρθρων ἐπίγνωσιν. ἐπεὶ δὲ ἤτοι πάντα ἢ πλεῖστα τῶν ἄρθρων χωρὶς ὀργανικῆς μηχανοποιΐας καταρτίζειν παρακελευσάμενος καινὸν ὀργάνου τρόπον ἐν τοῖς ἑφεξῆς ἐπινοήσας ἐκτέθειται, ἀναγκαῖον ἂν εἴη καὶ τὴν [ἐκ] τούτου κατασκευὴν δι' ὑποδείγματος κατὰ τὸν οἰκεῖον τ[ρ]όπον ἐν τούτοις ὑπογράψαι σοι πρὸς τὸ μηδέν σε τῶν πρὸς τὰ προκείμενα συντεινόντων κατὰ τὸ δυνατὸν διαλαθεῖν. προκαταχωρίζων δὲ τὰς Ἱπποκράτους λέξεις ἀκολούθως τοῖς πρότερον, οὕτως τὰς διὰ τῶν ὑποδειγμάτων ἐμβολὰς ὑποτάξω. ἐχομένως τοίνυν οὕτως καταχωρίζει (IV 224 L)· ἢν δὲ μηροῦ ἄρθρον ἐξ ἰσχίου ἐκπέσῃ — ἐκπίπτει δὲ τέσσαρας τρόπους, ἐς μὲν τὸ εἴσω πολὺ πλειστάκις, εἰς δὲ τὸ ἔξω τῶν ἄλλων πλειστάκις, εἰς δὲ τὸ ὄπισθεν ⟨καὶ τὸ ἔμπροσθεν⟩ ἐκπίπτει μέν, ὀλιγάκις δέ — οἷσι μὲν οὖν εἰς τὸ ἔσω μέρος ἐκβῇ, μακρότερον τὸ σκέλος φαίνεται παραβαλλόμενον πρὸς τὸ ἕτερον διὰ δισσὰς προφάσιας εἰκότως. ἐπί τε γὰρ τὸ ἀπὸ τοῦ ἰσχίου πεφυκὸς ὀστέον, τὸ ἄνω φερόμενον ἐπὶ τὸν κτένα, ἐπὶ τοῦτο[ν] ἡ ἐπίβασις τοῦ μηροῦ τῆς κεφαλῆς γίνεται καὶ ὁ αὐχὴν τοῦ ἄρθρου ἐπὶ τῆς κοτύλης ὀχεῖται· ἔξωθέν τε αὐτοῦ ὁ γλουτὸς κοῖλος φαίνεται ἔσω ἅτε ῥεψάσης τῆς κεφαλῆς τοῦ μηροῦ· τό τε αὖ ⟨κατὰ⟩ τὸ γόνυ τοῦ μηροῦ ἀναγκάζεται ἔξω ῥέπειν καὶ ἡ κνήμη καὶ ὁ ποὺς ὡσαύτως. καὶ μετά τινας ἀριθμούς φησιν (IV 226 L)· ἀτὰρ καὶ ψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ παρὰ τὸν περίναιον ὑπερογκέουσα ἐκδηλός ἐστιν· τὰ μὲν σημεῖα ταῦτα, οἷς ἂν ἔσω ἐκπεπτώκῃ. ἐὰν οὖν ἐκπεσὼν μὴ ἐμπέσῃ, ἀλλὰ καταπορηθῇ, ἥ τε ὁδοιπορίη περι-

---

5 πρωτου του 6 σφονδυλων κυφεως: 'leg. κύφους s. κυφώσεως' Dtz υποδειγματων οι εκτεθηται μετον τροπον: correxi; ἐκτέθειταί μοι Dtz 7 ταυτον δε: τούτων δεῖ Dtz; correxi 9 ὑφ' ὧν: correxi εκθησωμαι 11 επι δε ητοι: corr. Dtz 12 και τον et εκτεθημαι: correxi 13 [ἐκ] seclusit Dtz τρόπον: corr. Brinkmann εκ τουτοις υπεγραψα σοι: corr. Dtz 15 προκαταχωριζειν: corr. Dtz 16 εχωμενος: corr. Dtz 17 εκπιπτη ει μεν m. prima, c supra lineam adpinxit m. recentior 18 πλιστακης bis 19 ὀληγάκης οἱη μεν εις το εσω 20 φενεται 21 εικοτος επει τε πεφοικος 22 τουτον 23 ὠχειται 24 κοινος φενεται το τε αὐτῶ γονυ του μηρου αναγκαζεται 25 ωσαῦτος 27 περειναιον υπερογκαιουσα εκδηλος εκπεπτοκει 28 καταπωρεθη οδυπορίη

φοράδην τοῦ σκέλεος ὥσπερ ἐν τοῖς βουσὶ γίνεται καὶ ἡ ὄγκωσις πλείστη αὐτοῖς ἐπὶ τοῦ ὑγιοῦς σκέλεός ἐστιν καὶ ἀναγκάζονται τὰ κατὰ τὸν κενεῶνα καὶ κατὰ τὸ ἄρθρον τὸ ἐκπεπτωκὸς κυλλοὶ καὶ σκολιοὶ εἶναι. καὶ κατὰ δὲ τὸ ὑγιὲς εἰς τὸ ἔξω ὁ γλουτὸς ἀναγκάζεται περιφερὴς εἶναι. καὶ πάλιν οὕτως ἔχει (IV 228 L)· ἀναγκάζονται δὲ καὶ ἐπικύπτειν. τῇ γὰρ χειρὶ τῇ κατὰ τὸ σκέλος τὸ σιναρὸν ἀναγκάζονται κατὰ πλάγιον τὸν μηρὸν ⟨ἐρείδειν⟩. οὐ γὰρ δύναται τὸ σιναρὸν σκέλος ὀχεῖν τὸ σῶμα ἐν τῇ μεταλλαγῇ τῶν σκελέων, ἢν ⟨μὴ κατέχηται πρὸς⟩ τὴν γῆν πιεζόμενον. ἐν τούτοις οὖν τοῖς σχήμασιν ἀναγκάζονται ἐσχηματίσθαι, οἷς ἂν ἐκβὰν τὸ ἄρθρον μὴ ἐμπέσῃ. καὶ μετά τινας ἀριθμοὺς οὕτως ἕκαστα περιέργως διαπορεύεται· ἀναγκάζομαι δὲ τῆς συμμετρίας στοχαζόμενος αὐτὰ τὰ καίρια μόνον προ⟨σ⟩τάσσειν (IV 230 L)· οἷς μὲν οὖν μήπω τετελειωμένοις ἐς αὔξησιν ἐκπεσὼν μὴ[δε] ἐμπέσῃ, γυιοῦται καὶ ὁ μηρὸς καὶ ἡ κνήμη καὶ ὁ πούς. οὔτε γὰρ ὀστᾶ ἐς τὸ μῆκος ὁμοίως αὔξεται, ἀλλὰ βραχύτερα γίγνεται, μάλιστα δὲ τοῦ μηροῦ, ἄσαρκόν τε ἅπαν τὸ σκέλος καὶ ἄμυον καὶ ἐκτεθηλυσμένον καὶ λεπτὸν γίνεται, ἅμα μὲν διὰ τὴν στέρησιν τοῦ ἄρθρου, ἅμα δὲ ὅτι ἀδύνατον χρῆσθαί ἐστιν, ὅτι οὐ κατὰ φύσιν κεῖται. καὶ διὰ τούτων πᾶσιν ἐπιλέγει (IV 230 L)· εἰ δὲ νηπίοις ἡ συμφορὴ αὕτη γίνεται, οἱ πλεῖστοι καταμβλακεύουσι τὴν ὄρθωσιν τοῦ σώματος, ἀλλὰ εἰλέονται ἐπὶ τὸ ὑγιὲς σκέλος, τῇ χειρὶ πρὸς τὴν γῆν ἀπερειδόμενοι τῇ κατὰ τὸ ὑγιὲς σκέλος. καταμβλακεύουσι δὲ ἔνιοι τὴν ἐς τὸ ὀρθὸν ὁδοιπορίην, καὶ οἷς ἂν τετελειωμένοις αὕτη ἡ συμφορὴ γίνηται. τὰ μὲν σημεῖα ταῦτα ἐκτέθειται· τὸν δὲ καταρτισμὸν ὃν τρόπον δεῖ ποιεῖσθαι, διὰ τούτων δεδήλωκεν (IV 288 L)· μηροῦ δὲ ὀλίσθημα κατ' ἰσχίον ὧδε χρὴ ἐμβάλλειν, ἢν εἰς τὸ ἔσω μέρος ὠλισθήκῃ. ἀγαθὴ μὲν ἥδε κατὰ φύσιν καὶ δικαίη ⟨ἡ⟩ ἐμβολὴ καὶ δή τι ἀγωνιστικὸν ἔχουσα, ὅστις γε καὶ τοῖς τοιούτοις ἥδεται κομψευόμενος. κρεμάσαι χρὴ τὸν ἄνθρωπον τῶν ποδῶν πρὸς μεσόδμην δεσμῷ μαλθακῷ, δυνατῷ δὲ καὶ παχέως ἔχοντι. τοὺς δὲ πόδας χρὴ διέχειν ἀλλήλων ὅσον τέσσαρας δακτύλους ἢ καὶ ἔλασσον. χρὴ δὲ καὶ ἐπάνωθεν τῶν ἐπιγουνίδων προσπεριβεβλῆσθαι πλατεῖ ἱμάντι καὶ μαλθακῷ, ἀνατείνοντα πρὸς τὴν μεσόδμην, τὸ δὲ σκέλος τὸ σιναρὸν ἐντετάσθαι ὡς δύο δακτύλους μᾶλλον τοῦ ἑτέρου. ἀπὸ δὲ τῆς γῆς ἀπεχέτω τὴν κεφαλὴν ὡς δύο πήχεις ἢ ὀλίγῳ πλεῖον ἢ ὀλίγον ἔλασσον. τὰς δὲ χεῖρας παρατεταμένας παρὰ τὰς πλευρὰς καταλελαμμένος ἔστω μαλακῷ τινι. πάντα δὲ ταῦτα ὑπτίῳ κατακειμένῳ κατασκευασθήτω, ὡς ὅτι ἐλάχιστον χρόνον κρέμηται. ὅταν δὲ κρεμασθῇ, ἄνδρα χρὴ εὐπαίδευτον καὶ μὴ ἀσθενέα, ἐρείσαντα τὸν πῆχυν μεταξὺ τῶν μηρῶν, ἔπειτα θέσθαι τὸν πῆχυν μεσηγὺ τοῦ τε περιναίου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ τῆς ἐξεστηκυίης, ἔπειτα συνάψαντα τὴν ἑτέρην χεῖρα πρὸς

1 ογκωσις πληστη αυτοις 2 εστιν ἡν αναγκαιον τὰ κατα 3 τω κοιλοι τω υγιειες εις το 4 παλην 7 ὡχειν 9 οἷς ἂν ἐκβὰν 10 αναγαζονται: corr. Dtz 11 προτάσσειν: correxi τετελειωμενης εκπεσον μηδε εμπεση 12 κνιμη 16 οἱ δε νηπιοις 17 γίνηται πλιστοι 21 εκτεθηται 22 εις το εσω μερος ολισθήκη 24 ὅστις τε 25 παχεως ἔχοντι 27 ελασσω προσπεριβεβλείσθαι 28 τω σιναρὸν 30 παρατεταμμενας 31 καταλελαμμενας μαλακῷ τηνι 33 ἐρείσαντα

τὴν διηρ[η]μένην, παραστάντα ὀρθὸν παρὰ τὸ σῶμα τοῦ κρεμαμένου, ἐξαπίνης ἐκκρεμασθέντα μετέωρον αἰωρηθῆναι ὡς ἰσορροπώτατα. αὕτη μὲν ἡ ἐμβολὴ παρέχεται ὅσα χρὴ κατὰ φύσιν. αὐτό τε γὰρ τὸ σῶμα κρεμάμενον κατάτασιν ποιεῖται, ὅ τε κρεμασθεὶς ἅμα μὲν τῇ κατατάσει ἀναγκάζει ὑπεραιωρέεσθαι τὴν κεφαλὴν τοῦ μηροῦ ὑπὲρ τῆς κοτύλης, ἅμα δὲ τῷ ὀστέῳ τοῦ πήχεως ἀπομοχλεύει καὶ ἀναγκάζει εἰς τὴν ἀρχαίην φύσιν ὀλισθάνειν. ταῦτα μὲν ἐπὶ τοσοῦτον ὑπὸ τοῦ Ἱπποκράτους διασεσάφηται· δεῖ δὲ τὸν προκείμενον καταρτισμὸν, καθάπερ ἔχει τὸ ὑποδεδειγμένον ὑπόδειγμα, τὸν τρόπον τοῦτον ποιεῖσθαι.

(Tabvla XX)

Ἐπειδὴ πλειστάκις εἴρηκεν τὸν μηρὸν εἰς τὸ ἔσω μέρος ὀλισθάνειν, καταλέγων πλείονας ἐμβολὰς ἐπὶ τούτου τοῦ τρόπου προσυπογέγραφεν. ἐχομένως γὰρ τὴν διὰ τοῦ ἀσκοῦ γινομένην ἐμβολήν, καίτοι γε οὐκ εὐαρεστουμένην αὐτῷ κατὰ πᾶν, διὰ τούτων ἐκτίθειται (IV 308 L)· εὐδοκιμεῖ δὲ καὶ ἀσκῷ τοῦτο τὸ ἄρθρον ἐμβάλλεσθαι· καὶ ἤδη μέν τινας εἶδον, οἵτινες ὑπὸ φαυλότητος καὶ τὰ ἔξω ἐκκεκλιμένα καὶ τὰ ἐς τοὔπισθεν ἀσκῷ ἐμβάλλειν ἐπειράθησαν οὐ γινώσκοντες [αὐτοῖς] ὅτι ἐξέβαλλον ⟨μᾶλλον⟩ ἢ εἰσέβαλλον. ὁ μέντοι πρῶτος ἐπινοήσας δῆλον ὅτι πρὸς τὰ εἴσω ὠλισθηκότα ἀσκῷ ἐμβάλλειν ἐπειρήσατο. ἐπίστασθαι μὲν οὖν χρὴ ὡς χρηστέον ἀσκῷ, εἰ δέοι χρῆσθαι· διαγιγνώσκειν δὲ χρὴ ὅτι ἕτερα πολλὰ ἀσκοῦ κρέσσω. οὐ λίαν δὲ ἐγκρίνων τὴν διὰ τοῦ ἀσκοῦ ἐμβολήν, ὅμως περὶ αὐτῆς οὕτως ἀποφαίνεται (IV 308 L)· χρὴ δὲ τὸν ἀσκὸν ἐνθεῖναι ἐς τοὺς μηροὺς ἀφύσητον ἐόντα, ὡς ἂν οἷόν τε ἀνωτάτω πρὸς τὸν περίναιον ἄνω ἀνάγοντα, ἀπὸ δὲ τῶν ἐπιγουνίδων ἀρξάμενον ταινίῃ πρὸς ἀλλήλους τοὺς μηροὺς καταδῆσαι μέχρι τοῦ ἡμίσεως, ἔπειτα δὲ εἰς ἕνα τῶν ποδῶν τῶν λελυμένων ἐνθέντα αὐλὸν ἐκ χαλκείου φῦσαν ἀναγκάζειν εἰς τὸν ἀσκόν· τὸν δὲ ἄνθρωπον πλάγιον κατακεῖσθαι, τὸ σιναρὸν σκέλος ἐπιπολῆς ἔχοντα. ἡ μὲν παρασκευὴ αὕτη. σκευάζονται δὲ κάκιον οἱ πλεῖστοι ἢ ὡς ἐγὼ εἴρηκα. οὐ γὰρ καταδέουσι τοὺς μηροὺς ἐπὶ συχνῶν, ἀλλὰ μόνον τὰ γούνατα, οὐδὲ κατατείνουσιν. χρὴ δὲ καὶ προκατατείνειν. ὅμως δὲ ἤδη τινὲς ἐνέβαλλον ῥηϊδίου πράγματος ἐπιτυχόντες. ὃν τρόπον δ' ἄν τις χρήσαιτο τῇ διὰ τοῦ ἀσκοῦ ἐνθέσει, τὸ ὑποτεταγμένον ὑπόδειγμα περιέχει.

(Tabvla XXI)

Ἐχομένως δὲ ἄλλης ἐμβολῆς διὰ τούτων μνημονεύει (IV 314 L)· ἐμβάλλεται δὲ μηροῦ ἄρθρον καὶ τόνδε τὸν τρόπον, ἢν ἐς τὸ εἴσω ὀλίσθῃ ἢ καὶ ἐς τὸ ἔμπροσθεν.

---

1 διηρημενην ὀρθῶς εξαπεινης 2 ἐωρηθηναι 4 ὁ δὲ ὑπερεωρεισθαι 5 πηχεος 7 ὑποδεδειγμένον: aut ὑποτεταγμένον aut ὑπογεγραμμένον aut ὑποκείμενον scrib. 10 πληστακης 12 γενομομενην: corr. Dtz 14 φαυλοτιτος κεκλιμενα και τα μη εις τοὐπισθεν 15 οἳ γινωσκοντες αυτοις οτι εξεβαλλεν ἡ εισεβαλλεν 16 ἔσω ολισθηκοτα 18 χρεἰσθαι κρεσσω 19 εκκρινων: f. servanda haec forma 20 εις ὡς ἂν οὖν ἦτε 22 τενιη δε ἐν δυοιν ποδοιν ὄντων λελυμένων αυλω εκ χαλκιου φυσιεν ἀναγκάζειν 24 επιπολεἰς 25 τάχιον γώνατα 28 ἐπιτυχόντος 31 εμαλλεται 32 εις το εσω εις

κλίμακα χρὴ κατορύξαντα περικαθίσαι τὸν ἄνθρωπον, εἶτα τὸ μὲν ὑγιὲς σκέλος ἡσύχως κατατείνοντα προσδῆσαι ὅπου ἂν ἁρμόσῃ, ἐκ δὲ τοῦ σιναροῦ εἰς κεράμιον ὕδωρ ἐγχέας ἐκκρεμάσαι ἢ σφυρίδα λίθους ἐμβαλών. [τ]ὸν τρόπον δὲ δεῖ καὶ τὸν προκείμενον καταρτισμὸν ποιεῖσθαι, ⟨ὑπόκειται⟩.

(Tabvla XXII)

Ἐχομένως δὲ καὶ ἄλλου τρόπου διὰ τούτων μνημονεύει (IV 314 L)· ἕτερος τρόπος ἐμβολῆς, ἣν εἰς τὸ ἔσω ὀλίσθῃ. στρωτῆρα χρὴ διαδῆσαι μεταξὺ δύο στύλων ὕψος ἔχοντα σύμμετρον. προεχέτω δὲ τοῦ στρωτῆρος κατὰ τὸ ἓν μέρος ὅσον τὸ πυγαῖον. περιδήσας δὲ περὶ τὸ στῆθος τοῦ ἀνθρώπου ἱμάτιον ἐπικαθίσαι ἐπὶ τὸ προέχον τοῦ στρωτῆρος, εἶτα προσβάλλειν τὸ στῆθος πρὸς τὸν στῦλον πλατεῖ τινι. ἔπειτα τὸ μὲν ὑγιὲς σκέλος κατεχέτω τις, ὡς μὴ περισφάλληται, ἐκ δὲ τοῦ σιναροῦ ἐκκρεμάσαι βάρος ὅσον ἁρμόζει. δεῖ δὲ καὶ ταύτην τὴν ἐμβολὴν οὕτως καταρτίζεσθαι.

(Tabvla XXIII)

Ὃν τρόπον δὲ ἐπὶ ὤμου πλείονας ἐμβολὰς τάξας ἐπὶ πᾶσι κράτιστον καταρτισμὸν κατεχώρισεν, οὕτως καὶ ἐπὶ μηροῦ τὸ ὅμοιον πεποίηκεν. ἀπὸ γὰρ τῶν ἁπλῶν ἐπὶ τὴν ὀργανικὴν κατήντηκε κατάτασιν καὶ μοχλείαν, ἥτις βιαιοτέρας ἀνάγκας ἔχει καὶ πρὸς τῶν ἄλλων ⟨μ⟩ὲν ἄρθρων καταρτισμὸν καὶ πρὸς μηροῦ δὲ ἐξηρθρηκότος ἐμβολάς. ὅθεν ἐχομένως τοῦ Ἱπποκράτους περὶ τῆς τοῦ ὀργάνου κατασκευῆς μνημονεύοντος, πρότερον τὸ ὑπόδειγμά σοι καταγραφήσεται, εἶτα αἱ γινόμεναι διὰ τούτου τοῦ μηροῦ ἐμβολαί. διασαφεῖ δὲ οὕτως (IV 296 L)· εἴρηκα δὲ καὶ πρόσθεν ἤδη ὅτι ἐπάξιον ὅστις ἐν πόλει ⟨πολυ⟩ανθρώπῳ ἰητρεύει, ξύλον κεκτῆσθαι τετράγωνον ὡς ἐξάπηχυ ἢ ὀλίγῳ μεῖζον, εὖρος δὲ δίπηχυ· πάχος δὲ ἀρκέσει σπιθαμιαῖον· ἔπειτεν κατὰ μῆκος μὲν ἔνθεν καὶ ἔνθεν τομὴν ἔχειν, ὡς μὴ ὑψηλοτέρη τοῦ καιροῦ ἡ μηχανὴ ᾖ· ἔπειτα φλιὰς βαθείας ἰσχυρὰς καὶ ἰσχυρῶς ἐνηρμοσμένας ὀνίσκον ἔχειν ἑκατέρωθεν. ἔπειτα ἀρκεῖ μὲν ἐν τῷ ἡμίσει τοῦ ξύλου, οὐδὲν δὲ κωλύει καὶ διὰ παντὸς ἐντετμῆσθαι ὥσπερ καπέτους μακρὰς ἢ πέντε ἢ ἓξ διαλειπούσας ἀπ' ἀλλήλων ὡς τέσσαρας δακτύλους. αὐτὰς δὲ ἀρκεῖ εὖρος τριδακτύλους εἶναι καὶ βάθος οὕτως· ἔχειν δὲ κατὰ

---

21 Hipp. III, 466 Littré; cf. IV, 202 adnot. 13

---

2 σινάρου κεραμιον ὕδωρ ἐγχέας εκκρεμάσαι ἡ σφυριδα λίθους ἐμβαλὼν· τον τροπον δε δη και: corr. et suppl. Brinkmann 8 προσεχέτω ὅσον πυγωνα scripserat m. prima; πυγαιον (in ras. inde ab α litt.) m. recentior 9 περιδισας επικαθηςαι 11 τενι· επιτα 17 κατηντικεν μοχλίαν· εἴ τις: corr. Dtz βιαιωτερας 18 ἐναρθρων: correxi διεξηρθρηκότος: correxi εχομενος v(sic)
19 μνημονευοντος ὑποδιγμα 20 καταγραφιςεται· ειτε αι 21 εἴρικα ωςτις πολει ανθρωπω ιητρευη 22 ἡ ολιγω ἡ μειζων 23 σπηθαμιαιον μικος 24 υψηλοτερην μηχανὴ ἦι· ἔπειτα 26 εντετμεῖσθαι

μέσον τὸ ξύλον καὶ καταγλυφὴν βαθυτέρην ἔτι τετράγωνον ὡς τριῶν δακτύλων· καὶ ἐς μὲν τὴν καταγλυφὴν ταύτην, ὅταν ⟨δοκῇ⟩ προσδεῖν ξύλον ἐμπηγνύντα ἐναρμόσον τῇ καταγλυφῇ, τὸ δὲ ἄνω στρογγύλον ἐμπηγνύναι ὡς ἄν ποτε δοκῇ συμφέρειν, μεσηγὺ τοῦ περιναίου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ. τοῦτο τὸ ξύλον ἑστεὸς κωλύσει τὴν ἐπίδοσιν ἐπιδιδόναι τὸ σῶμα τοῖς πρὸς ποδῶν ἕλκουσιν. ἐνίοτε γὰρ ἀρκέσοι ἂν αὐτὸ τὸ ξύλον τοῦτο ἀντὶ τῆς ἄνωθεν ἀντικατατάσιος· ἐνίοτε δὲ καὶ κατατεινομένῳ ἔνθεν καὶ ἔνθεν αὐτὸ τὸ ξύλον τοῦτο χαλαρὸν ἐγκείμενον ἐν τῇ ῥοπῇ ἐκμοχλεύειν ἐπιτήδειον ἂν εἴη τὴν κεφαλὴν τοῦ μηροῦ ἐς τὸ ἔξω μέρος. διὰ τοῦτο γὰρ καὶ αἱ κάπετοι ἐντέτμηνται, ὡς καθ' ὁποίην ἂν αὐτέων ἁρμόσῃ, ἐμβαλλόμενος ὁ ξύλινος μοχλὸς μοχλεύει ἢ παρὰ τὰς κεφαλὰς τῶν ἄρθρων ἐρειδόμενος ἅμα τῇ κατατάσει ἤν τε ἐς τὸ ἔξω μέρος ⟨συμφέρῃ⟩ ἐκμοχλεῦσαι καὶ ἤν τε στρογγύλον τὸν μοχλὸν συμφέρῃ εἶναι ἤν τε πλάτος ἔχοντα. ἄλλος γὰρ ἄλλῳ τῶν ἄρθρων ἁρμόσει· εὔχρηστος δέ ἐστιν ἐς πάντων ⟨τῶν⟩ ἄρθρων ἐμβολὴν τῶν κατὰ τὰ σκέλεα αὕτη ἡ μόχλευσις σὺν τῇ κατατάσει. περὶ οὗ μὲν οὖν ὁ λόγος ἐστίν, στρογγύλος ἁρμόσει ὁ μοχλὸς εἶναι. τῷ μέντοι ἔξωθεν ἐκπεπτωκότι ἄρθρῳ πλατὺς ἁρμόσει εἶναι· ἀπὸ τούτων τῶν μηχανῶν καὶ ἀναγκέων οὐδὲν ἄρθρον μοι δοκέει οἷόν τε εἶναι ἀπορηθῆναι ἐμπεσεῖν. ἡ μὲν οὖν ὑπὸ τοῦ Ἱπποκράτους γεγενημένη τῆς ὀργανικῆς κανίδος ἐπίνοια διὰ τούτων σεσήμανται. ἡ δὲ τούτου τοῦ ὀργάνου κατασκευὴ τὸν ὑποδεδειγμένον τρόπον ἔχει.

(Tabvla XXIV)

Ἡ μὲν τοῦ ὀργάνου κατασκευὴ τοῦτον ἔχει τὸν τρόπον. ὁ δὲ ἐπ' αὐτοῦ γινόμενος τοῦ μηροῦ καταρτισμὸς διὰ τῶν ἐχομένων ὑποδειχθήσεταί σοι. οὐ γὰρ μόνον οἵεται ἐπὶ τῆς εἰς τὸ ἔσω τοῦ μηροῦ ἐξαρθρήσεως τὴν ἐπὶ τῆς προκειμένης κανίδος κατάτασιν καὶ μοχλείαν ἀρκεῖν, ἀλλὰ καὶ ⟨ἐπὶ τῶν ἄλλων⟩ ἐπιπηξσομένων ἐξ ἑκατέρου μέρους φλιῶν ἐχουσῶν κλιμακτῆρα καὶ πλαγίου τοῦ ἀνθρώπου κατατεινομένου. προφέρεται δὲ ἐχομένως περὶ αὐτοῦ τὸν τρόπον τοῦτον (IV 300 L)· ἔχοι ἄν τις καὶ ἄλλους τρόπους τοῦ ἄρθρου τούτου ἐμβολῆς. εἰ γὰρ τὸ ξύλον τὸ μέγα τοῦτο ἔχοι κατὰ μέσον κατὰ πλάγιον φλιὰς δύο ὡς ποδιαίας, ὕψος δὲ ὅπως δοκοίη συμφέρειν, τὴν μὲν ἔνθεν, τὴν δὲ ἔνθεν, καὶ ἔπειτα ξύλον πλάγιον ἐνείη ἐν ταῖς φλιαῖς ὥσπερ κλιμακτήρ, ἔπειτα ἤδη ἐρείσειε τὸ ὑγιὲς σκέλος μεσηγὺ τῶν φλιῶν, τὸ δὲ σιναρὸν ἄνωθεν τοῦ κλιμακτῆρος ἔχοι ἐναρμόσον ἀπαρτὶ πρὸς τὸ ὕψος καὶ [τὸ] πρὸς τὸ ἄρθρον ⟨ᾗ⟩ ἐκπεπτώκει· ῥηΐδιον δὲ ἁρμόσει· τὸν κλιμακτῆρα ὑψηλότερόν τινι χρὴ ποιεῖν τοῦ

---

2 ενπηγνυντα 3 ενπηγνυνται 5 εσται· ως κωλυσει επιδοσιν (επι in rasura m. prima) 6 ενειοτε αυτω 7 ενειοτε αυτω 8 ενκειμενον εν τη ρωπη 9 εις καπεδοι 10 ἁρμογει 11 εριδομενος εἰς 13 αλλως γαρ αλλως των 15 στρογγυλον αρμοσειεν 16 πλατοις απο τοῦ τουτων (sic) 17 αναγκαιον απορηθηνα ἐμπεσειν 18 ἀπὸ: correxi 19 κατασκευει 22 οἵεται εις το ἔσω της επι του μηρου εξαρθρησεως: correxi 23 μοχλίαν 24 επιπισωμενων ἐξ εκατερους μηρους φλεῖων: corr. Dtz; supplevi ego 28 συμφερει 30 ερισειε μεσσηγυ 31 καὶ τὸ προς τω αρθρον εκπεπτοκη 32 ἁρμωση ὑψιλοτερον

μετρίου, καὶ ἱμάτιον πολύπτυχον, ὡς ἂν ἁρμόσῃ, ὑποτείνειν ὑπὸ τὸ σῶμα. ἔπειτα χρὴ ξύλον ἔχον τὸ πλάτος μέτριον καὶ μῆκος ἄχρι τοῦ σφυροῦ ὑποτεταμένον ὑπὸ τὸ σκέλος εἶναι ἱκνούμενον ἐπέκεινα ἐπὶ τῆς κεφαλῆς τοῦ μηροῦ, ὡς οἷόν τε· προσκαταδεδέσθαι δὲ πρὸς τὸ σκέλος ὁποσαχῶς ἂν μετρίως ἔχῃ· καὶ ἔπειτα κατατεινομένου τοῦ σκέλους, εἴτε ξύλῳ ὑπεροειδεῖ εἴτε τούτων τινὶ τῶν καταστασίων ὁμοῦ καταναγκάζεσθαι τὸ σκέλος περὶ τὸν κλιμακτῆρα ἐς τὸ κάτω μέρος σὺν τῷ ξύλῳ τῷ προσδεδεμένῳ· τὸν δέ τινα κατέχειν τὸν ἄνθρωπον ἀνωτέρω τοῦ ἄρθρου κατὰ τὸ ἰσχίον. καὶ οὕτως ἡ κατάτασις ἅμα μὲν ὑπεραιωρέοι ἂν τὴν κεφαλὴν τοῦ μηροῦ ⟨ὑπὲρ τῆς κοτύλης, ἅμα δὲ ἡ μόχλευσις ἀπωθέοι τὴν κεφαλὴν τοῦ μηροῦ⟩ εἰς τὴν ἀρχαίαν φύσιν τοῦ μηροῦ. αὗται πᾶσαι αἱ εἰρημέναι ἀνάγκαι ἰσχυραὶ καὶ κρέσσους τῆς συμφορῆς, ἣν τις ὀρθῶς καὶ καλῶς σκευάζηται. ὥσπερ δὲ καὶ πρόσθεν ἤδη εἴρηται, πολὺ ἀπὸ ἀσθενεστέρων καταστασίων καὶ φαυλοτέρης κατασκευῆς πλείστοισιν ἐμπίπτει. θαυμάζω δὲ ἐπὶ τοῖς τὴν πολυθρύλλητον ἀνατομὴν ἐναγκαλιζομένοις Ἡροφιλείοις, μάλιστα δὲ ἐπὶ Ἡγήτορι. ἐν γὰρ τῷ περὶ αἰτιῶν περὶ μηροῦ ἐξαρθρήσεως οὕτως ἐμέμνητο τὰ ὑποτεταγμένα διασαφῶν· διὰ τί δὲ οὐκ ἐπιβάλλονται ζητεῖν ἄλλην τινὰ ἐμβολὴν τῆς τοῦ μηροῦ κεφαλῆς παρὰ τὰς νυνὶ καταπεπτωκυίας, καθ' ἣν ὅταν ἐκπέσῃ ἐμβληθεῖσα μένει, οἱ μόνον αὐτῇ τῇ τριβῇ προσχρώμενοι, θεωροῦντες ἐκ τοῦ ἀνὰ λόγον ἐμβαλλόμενα καὶ μένοντα τήν τε κάτω σιαγόνα καὶ τὴν τοῦ βραχίονος κεφαλήν, ἔτι δὲ ἀγκῶνα καὶ γόνυ καὶ τῶν δακτύλων ἕκαστον καὶ σχεδὸν τὰ πλεῖστα τῶν εἰθισμένων ἐκπίπτειν ἄρθρων; οὐδὲν γὰρ ἔχοντες αὐτοῖς ἐπιλογίσασθαι, διὰ τί ποτε μόνον τοῦτο τῶν ἄρθρων ἐκπεσὸν καὶ πάλιν ἐμβληθὲν οὐ δύναται μένειν, τῷ δὲ πλεονάκις ἐπὶ τῶν λοιπῶν ἄρθρων γινομένῳ προσχρησάμενοι ἥξουσιν κατά τι πιθανὸν ἐπὶ τὸ νομίσαι, μή ποτε ὑπάρχῃ βελτίων ἐμβολή, καθ' ἣν δυνήσεται μένειν τὸ ἄρθρον, ἐχόμενοι τοῦ κατὰ τὸ πλεῖστον ἐπὶ τῶν λοιπῶν συμβαίνοντος. εἰ δὲ ἐπενόησαν τὴν αἰτίαν ἐξ ἀνατομῆς, διότι συμβέβηκεν ἐκ τῆς κεφαλῆς τοῦ μηροῦ νεῦρον ἐκπεφυκέναι, ὃ ἐμφύεται εἰς μέσην τὴν κοτύλην· οὗ μένοντος μὲν ἀδύνατόν ἐστιν ἐκπεσεῖν τὸν μηρόν· διασπασθὲν δὲ οὐκ ἐνδέχεται σύμφυσιν λαβεῖν· μὴ γεγενημένης δὲ τῆς συμφύσεως, ἀδυνατεῖ πάλιν κατὰ χώραν μένειν τὸ ἄρθρον, ὥστε φανερᾶς τῆς αἰτίας γενομένης ἀποστῆναι καθόλου τοῦ ἐμβάλλειν ἐκπεσόντα μηρὸν καὶ μὴ κατακολουθεῖν ἀδυνάτοις ἐπιβολαῖς. ἐν τούτοις ὁ Ἡγήτωρ

---

2 ἔχοντα πλάτος μίκος 5 υπερωειδῆ 6 εἰς 8 ὑπερωραῖοι 9 μηρεου ειριμεναι 11 ἰσχυραὶ κατα 13 ἐμπίπτη 14 πολυθρυλυτον: corr. Dtz ἡροφιλίοις: corr. Dtz ηγητορος: 'f. 'Ηγήτορι' Dtz 15 εμεμνητω 17 π. τ. ν. καταπεπτωκυίας i. e. 'praeter eas, quae nunc disputatione mea refutatae conciderunt'; respicit Hegetor ad ea, quae antea exposuerat μενη: μένει Dtz; f. μενεῖ οἱ μόνον αὐτῇ τῇ τριβῇ προσχρώμενοι medici sectae empiricae 18 ἀνάλογον: correxi 19 σιαγωνα 22 τῶν ἄρθρων scripserat m. prima; τὸ ἄρθρον in rasura m. recentior πλεοναkεις 23 γινομενων: corr. Dtz ἔξουσιν: correxi 24 νομίσαι: νοῆσαι Brinkmann βελτειον ex βελτειων fecit m. recentior ὑπάρχῃ: f. ὑπάρχει ἐχομενον: corr. Brinkmann τῷ ἄρθρον 24—29 simile anacoluthon Philo mech. synt. p. 56, 50 sq. Th. 27 εἰσπεφυκέναι: correxi ἀδυνατεῖν: corr. Dtz 29 χώρην: corr. Dtz

Digitized by Google

οὐ μόνον πεπλάνηται, ἀλλὰ καὶ τοὺς φιλιατροῦντας ὅσον ἐφ' ἑαυτῷ διέστροφεν. ἔτι δὲ καὶ τῶν ὑπὸ Ἱπποκράτους ἐν τῷ περὶ ἄρθρων εἰρημένων οὐδαμῶς κεκράτηκεν, ἀλλὰ καὶ ἀπὸ ἀνομολόγων τὴν ἐπιχείρησιν ἐν τοῖς προκειμένοις εὐηθέστερον συνέστηται· ἵνα δὲ μὴ πολυγραφῶμεν, κεφαλαιώδεις τὰς πρὸς αὐτὸν ὑπομνήσεις ποιησόμεθα. οἱ γὰρ αὐτῇ μόνῃ τῇ τριβῇ προσχρώμενοι, μένοντες ἐπὶ τῶν ἐμπείρως παρατετηρημένων, οὔθ' ὁμολογήσουσιν, ὅτι καθόλου μηρὸς ἐξαρθρήσας καταρτισθεὶς πάλιν ἐκπίπτει, οὔτε πάλιν ἐμβολὴν παρήσονται, ποτὲ τοῦ προκειμένου μὴ κρατηθέντος. εἰ δὲ τοῦτο ἀληθές ἐστιν, ὅπερ καὶ βούλεται, οὐδ' ἂν οὕτως ἐγενήθησαν οἱ τῇ παρατηρήσει συγχρώμενοι, ἀλλ' ὃν τρόπον καὶ τὰ ἐπὶ τῶν ⟨λοιπῶν⟩ ἄρθρων αὐτοῖς τεθεώρηται, οὕτως καὶ τὰ ἐπὶ μηροῦ ἰδίως παρακολουθούμενα κατειλῆφθαι πιθανόν ἐστιν, ὥστε μὴ βουλεύεσθαι ⟨αὐ⟩τοὺς τῇ γνώμῃ ζητοῦντας βελτίονα ἐμβολήν, μένειν δὲ ἐπὶ τοῦ θεωρηθέντος ἐμπείρως. ὅτι δὲ μηρὸς ἐξαρθρήσας καὶ ἐντεθεὶς πάλιν κατ' ἀνάγκην ἐκπίπτει, οὔτε τὸ γινόμενον οὔθ' ἡ τῶν ἀρχαίων ἱστορία τοῦτο περιέχει. εἰ γάρ τινι καὶ ἄλλῳ, περὶ τῶν ἄρθρων ἐπιμελὲς γέγονεν καὶ Ἱπποκράτει· οὕτω δὲ φιλαλήθης ὑπάρχων καὶ τὰ ἐπὶ τῶν λοιπῶν ἰδιώματα διασαφῶν οὐδὲν περὶ μηροῦ δεδήλωκεν ὅτι οὐκ ἂν δύναιτο καθόλου κρατεῖσθαι, ἀλλ' ἐκ τῶν ἐναντίων ἐμπεπνευμάτωκέν πως ἐπὶ τῶν τοῦ μηροῦ ἐμβολῶν, ὥστε καὶ ὀργανικὴν ἐπίνοιαν ποιήσασθαι. καὶ ἔτι γε ἐπὶ τῶν μὴ κρατηθέντων καθ' ἕκαστον ἐξαρθρήσεως τρόπον τὴν παρακολουθοῦσαν ἐν τῇ πηρώσει χωλείαν ἐκτίθεται. καὶ ἐπὶ ὤμου δὲ τὸ παραπλήσιον ἱστορῶν οὕτως φησίν (IV 112 L)· οἷς δ' ἂν ὦμος καταπορηθῇ ἐμβληθῆναι — καὶ πάλιν οὕτως (IV 114 L)· οἷς δ' ἂν ἀνδράσιν ἤδη ἐοῦσιν ἐκπέσῃ ὦμος καὶ μὴ ἐμβληθῇ. εἰ δέ ποτέ φησιν μὴ κρατεῖσθαι τὴν τοῦ μηροῦ ἐξάρθρησιν, τὸ ἐναντίον γε πάλιν γίνεσθαι παρίστησιν. οὐκ ἐπὶ μὲν γὰρ τῆς πεπαλαιωμένης τοῦ ὤμου ἐξαρθρήσεως τὸ συμβαῖνον ἐπιγράφει ἐπὶ δὲ μηροῦ τὸ γινόμενον παρέπεμψεν ἄν, καὶ ταῦτα τὴν πρόγνωσιν ἐν ἀνάγκαίῳ τιθέμενος χάριν τοῦ τὴν τῶν ἰδιωτικῶν ἐκφυγεῖν μέμψιν. ἀλλὰ μὴν ἐν τῷ ἐπὶ πᾶσιν ὤμου καταρτισμῷ οὕτως ἐκτίθεται (IV 92 L)· τὰ μὲν οὖν νεαρὰ ἐμπίπτει [τε] θᾶσσον ⟨ἢ⟩ ὡς ἄν τις οἴοιτο. ἀτὰρ καὶ τὰ παλαιὰ μόνη αὕτη τῶν ἐμβολέων οἵη τε ἐμβιβάσαι. καὶ ἐπιλέγει τινὰ οὕτως διὰ τῶν ἑφεξῆς (IV 92 L)· οὐ μὴν ἀλλ' ἐμβάλλειν γάρ μοι δοκεῖ καὶ οὕτως πεπαλαιωμένον βραχίονα. τί γὰρ ⟨δι⟩καίη μόχλευσις οὐκ ὀνήσειεν; μένειν μέντοι γε οὐκ ἄν μοι δοκοίη κατὰ χώρην ἀλλ' ὀλισθαίνειν ἐς τὸ ἐκτός. εἰ τοίνυν μηρὸς ἐξαρθρήσας καὶ ἐντεθεὶς οὐκ ἔμενεν κατὰ χώραν, οὔτε ἂν πλείονας καὶ ποικίλας ἐμβολὰς ἐκτέθειτο πρὸς τὸ μηδὲν φιλοτεχνῶν οὔτ' ἂν ἀπέστη τοῦ τὴν ἀλήθειαν σημᾶναι. ὅτι γὰρ ἐν τοῖς τοιούτοις μάλιστά πως φιλαλήθως ἵσταται, ὃ καὶ κατατρέχει τῶν ἀλαζονικώτερον ἱσταμένων ἐν τοῖς καταρτισμοῖς ἰατρῶν, δι' ὧν φησιν οὕτως ἐν τοῖς αὐτοῖς ἐπὶ ῥάχεως

---

1 διέστρεφεν: correxi 2 ἅμα: correxi ἀποανομολογων: ἄπορον ὁμολογῶν Dtz 3 συνίσταται: correxi πολυγραφομεν: correxi; πολὺ γράφωμεν Dtz 5 παρατετηριμενων 6 ἐκπίπτη παρέσονται: corr. Dtz 7 ἐγενήθησαν: f. ἐπενόησαν 8 ⟨λοιπῶν⟩ Brinkmann 10 τοὺς τῇ: corr. Brinkmann εμπεῖρος 11 γεινόμενον (ειν in rasura) 12 ἢ γὰρ: corr. Dtz 13 ἱπποκρατη: corr. Dtz τὰς 15 ἐκπεπνευμάτωκεν: correxi 16 ἐπ του του μηρου ἐβολῶν: corr. Dtz 17 χωλίαν ἐκτέθηται 18 καταπωρηθῆ 20 τε: correxi 21 ἐπιγράφει recte tradi videtur; cf. Demosth. de corona 13 22 τιθέμενον: corr. Dtz 24 εμπιπτει τε θάσσον ως αν τις ῳοιτο 25 οἴηται ενβιβάσαι 26 ενβαλλειν δωκει 27 βραχιονα (β in rasura scripsit m. prima) 28 δοκοιεν ὀλισθανειν ες το ἔθος 31 ἀλαζονικοτέρων

Digitized by Google

κυφώσεως πάρεστι σκοπεῖν (IV 182 L)· τοῦτο μὲν γὰρ αἱ ἐν τῇ κλίμακι κατατάσιες οὐχ ἕνα πω ἐξίθυναν, ὧν ἐγὼ οἶδα. χρῶνται δὲ οἱ ἰητροὶ αὐτῇ μάλιστα οὕτως ἐπιθυμοῦντες ἐκχαυνοῦν τὸν πολὺν λαόν. τοῖσι γὰρ τοιούτοις θαυμαστά ἐστιν, ἂν ἢ κρεμάμενον ἢ ῥιπτούμενον ἴδωσιν ἢ ὅσα τοιούτοις ἔοικεν καὶ ταῦτα κληΐζουσιν ἀεὶ καὶ οὐκέτι αὐτοῖς μέλει ὁποῖόν τι ἀπέβη ἀπὸ τοῦ χειρίσματος εἴτε κακὸν εἴτε ἀγαθόν. οἱ μέντοι ἰητροὶ οἱ τὰ τοιαῦτα ἐπιτηδεύοντες σκαιοί εἰσιν, οὕς γε ἐγὼ ἔγνων. καὶ ἐπὶ ποσὸν διελθὼν πάλιν λέγει (IV 184 L)· αὐτὸς μέντοι κατησχύνθην πάντα τὰ τοιουτότροπα ἰητρεύειν διὰ τοῦτο ὅτι πρὸς ἀπατεώνων μᾶλλον οἱ τρόποι οἱ τοιοῦτοι. ὅμως δὲ μετὰ ταῦτα τὸν τρόπον ὑπογράψας, εἰ δέοι διὰ τῆς κλίμακος κατασείειν, οὐδαμῶς τῆς ἀληθείας ἀφιστάμενος οὕτως ἐκτίθεται (IV 188 L)· αἰσχρὸν μέντοι ἐν πάσῃ τέχνῃ καὶ οὐχ ἥκιστα ἐν ἰητρικῇ πολὺν ὄχλον παρασχόντα καὶ πολλὴν ὄψιν καὶ πολὺν λόγον ἔπειτα μηδὲν ὠφελῆσαι. οὐ τῆς Ἱπποκράτους τοίνυν ψυχῆς ἦν ἐπὶ μὲν τῶν προκειμένων οὕτως διεστάλθαι, ἐπὶ δὲ μηροῦ τῷ παραπλησίῳ τρόπῳ συγχρώμενον ἀπράκτως μηδὲν προσπεποιῆσθαι. ἀλλὰ μὴν περὶ τῆς πρώτης ἐμβολῆς διασαφῶν οὕτως ἐνῆρκται (IV 288 L)· μηροῦ δὲ ὀλίσθημα κατ' ἰσχίον ὧδε χρὴ ἐμβάλλειν, ἣν εἰς τὸ ἔσω μέρος ὠλισθήκῃ. ἀγαθὴ μὲν κατὰ φύσιν καὶ δικαίη ἐμβολὴ καὶ δή τι ἀγωνιστικὸν ἔχουσα, ὅστις γε καὶ τοῖς τοιούτοις ἥδεται κομψευόμενος. κρεμάσαι χρὴ τὸν ἄνθρωπον πρὸς μεσόδμην. ἀλλ' εἴπερ οὗτος ὁ τῆς ἐμβολῆς τρόπος ἢ καὶ τινὲς τῶν διηριθμημένων ὑπ' αὐτοῦ πρὸς τὸ μηδὲν ἦσαν ἐπινενοημένοι, πάντως ἂν ἐδήλωσεν, ὃν τρόπον καὶ ἐπὶ τῆς τῶν σπονδύλων διορθώσεως λέγων οὕτως (IV 212 L)· ἔγραψα ἐπίτηδες τοῦτο. καλὰ γὰρ ταῦτα τὰ μαθήματά ἐστιν, ἃ πειρηθέντα ἀπορηθέντα ἐφάνη καὶ διὰ τί ἠπορήθη. οὐ μὴν ἀλλ' ἐπεὶ μάλιστά πως περιεργότερον ἐπὶ τῶν μὴ κρατηθέντων περὶ τὴν ἐξάρθρησιν μηρῶν τὰ παρακολουθοῦντα διηρίθμη[ν]ται, σκεψώμεθα δ ἐπιφωνεῖ ἐπὶ τῆς εἰς τὸ ὀπίσω τοῦ μηροῦ ἐξαρθρήσεως. καθάπερ δὲ καὶ ἐπὶ τῶν λοιπῶν τρόπων, τὸ παραπλήσιον καὶ ἐπὶ τοῦ προκειμένου οὕτως προκατακεχώρικεν (IV 248 L)· ᾧ μὲν οὖν ἂν τετελειωμένῳ ἤδη ἐκπεσὸν μὴ ἐμπέσῃ. καὶ πάλιν οὕτως (IV 252 L)· οἷς δ' ἂν ἐκ γενετῆς ἢ ἄλλως πως ἀναυξήτοις ἔτι οὖσιν ὀλίσθῃ τὸ ἄρθρον καὶ μὴ ἐμπέσῃ. εἰ δ' ἐπὶ πασῶν τῶν τοῦ μηροῦ ἐξαρθρήσεων τὸ μὴ κρατεῖσθαι παρηκολούθει, οὐκ ἄν ποτε ἐπὶ τῶν μὴ καταρτισθέντων τὰ τῆς παρεζευγμένης χωλείας ἰδιώματα διηρίθμητο. ἀλλὰ τὰ μὲν ἐπὶ τῶν ⟨μὴ⟩ κρατηθέντων δηλούμεν⟨α⟩ συνακτικὰ καθίσταται τοῦ καταρτίζεσθαι μηρὸν ἐξαρθρήσαντα· οὐ μὴν ἀλλ' ἵνα μὴ ματαιοπόνος φαίνηται [μὴ] ἐπὶ τῶν καταρτισθέντων ⟨ἀλλὰ μὴ μενόντων⟩ ἐν ταῖς χώραις ἐπ' ἀκριβὲς διεληλυθώς, οὕτως μεθ' ὑπεξαιρέσεως ἐπιλέγει (IV 252 L)· φαίη μὲν οὖν ⟨ἄν⟩ τις ἔξω ἰατρικῆς τὰ τοιαῦτα εἶναι. τί γὰρ [τι] δῆθεν δεῖ

---

1 γὰρ θέντι κλίμακι 2 ουχ' ἑν απωεἰθυναν των 6 ἰητροὶ οὐ τὰ σκεοι 7 ἔγνου ποσων: corr. Dtz κατισχυνθην 8 τοιουτωτροπα τουτω απαταιονων 10 κατασείην 12 ὠφελεῖσαι 13 ἦν: correxi 14 συνχρομενον απρακτος: corr. Dtz προς πεποιεισθαι 16 ὀλισθηκη 17 ὅστις τε 18 οὕτως 20 σφονδύλων 21 ἀπειρηθέντα 23 διηριθμηνται: corr. Dtz ἐπιφωνὴ 25 προκατακεχωρηκεν 26 ἂν τελειωμενου 26 et 27 ἐνπεση 28 παρακολουθη: correxi 30 κρατιθέντων: ⟨μὴ⟩ addeci δηλοῦμεν et καθισταθαι: correxi f. τοῦ καταρτίζεσθαι ⟨δύνασθαι⟩ 31 ματαιωπονος: correxi μὴ ἐπὶ τῶν κρατηθέντων: correxi; supplevit Brinkmann coll. p. 29, 7 32 ὑπεξερεσεως: corr. Dtz 33 οὐν της τί γάρ τι δῆθεν

Digitized by Google

περὶ τῶν ἤδη ἀνηκέστων γεγονότων προεξυνιέναι; πολλοῦ δὲ δεῖ οὕτως ἔχειν· τῆς γὰρ αὐτῆς γνώμης καὶ ταῦτα συνιέναι· οὐ γὰρ οἷόν τε ἀπαλλοτριωθῆναι ἀπ' ἀλλήλων. δεῖ μὲν γὰρ τὰ ἀκεστὰ μηχανᾶσθαι, ὅπως μὴ ἀνήκεστα ἔσται, συνιέντα ὅπῃ ἂν μάλιστα κωλύσῃ ἐς τὸ ἀνήκεστον ἐλθεῖν. δεῖ δὲ τὰ ἀνήκεστα συνιέναι, ὡς μὴ μάτην λυμαίνηται. τὰ δὲ προῤῥήματα λαμπρὰ καὶ ἀγωνιστικὰ ἀπὸ τοῦ γινώσκειν, ὅπῃ ἂν ἕκαστα καὶ ὁπότε καὶ ὅπως τελευτήσει, ἢν τε ἐς τὸ ἀκεστὸν τράπηται ἢν τε εἰς τὸ ἀνήκεστον. τούτων δὲ οὕτως ἐχόντων, εἴπερ μηρὸς ἐξαρθρήσας καὶ καταρτισθεὶς οὐκ ἔμενεν κατὰ χώραν, ῥητῶς ἂν ὁ ἰατρὸς τὸ τοῦ πράγματος ἀνίατον, χάριν τοῦ μὴ πλανᾶσθαι ἡμᾶς, σεσημάγκει. μή ποτ' οὖν οἱ τὴν ἐναντίαν δόξαν ἐσχηκότες καὶ τῆς τῶν ἄρθρων καὶ τῆς τῶν νεύρων φύσεως καὶ τοῦ σύμπαντος περὶ τούτων ἀπείρως ἔχουσιν λόγου; ὁ γὰρ ἰατρὸς ἐπὶ τῶν ῥᾳδίως ἢ πάλιν δυσκόλως ἐξαρθρούντων τε καὶ καταρτιζομένων ἄρθρων καὶ τὴν φυσικὴν καταβολὴν καὶ τὴν καθ' ἕξιν σύστασιν καὶ τὴν τῶν νεύρων σκληρίαν ἢ ἐπίδοσιν μεθ' ὑγρότητος ἠτίαται, ὥστε καὶ ἐπὶ τῶν κατὰ τὸν μηρὸν ἐξαρθρήσεων, ἐάν ποτε μὴ κρατηθῇ, μὴ διὰ τὸ [μὴ] σπασθῆναι τὸ νεῦρον τοῦτο συμβαίνειν, ἀλλὰ διὰ τὴν φυσικὴν τῶν νεύρων ἔκλυσιν ἢ ἐπίδοσιν, ὡς ἐπὶ τῶν βοῶν τὰ ἄρθρα ταῦτα φύσει χαλαρὰ αὐτοὺς ἔχειν φησίν (IV 98 L)· οὐ μὴν ἀλλ' ἵνα μὴ πολυγραφῶ, καὶ περὶ τούτων ἐν συντόμοις τὰ λεγόμενα δηλώσομεν.

Ἐν ἀρχῇ τοίνυν τῆς πραγματείας ἐπὶ ὤμου ἐξαρθρήσεως καταρτισμοῦ τὴν μνείαν ποιούμενος οὕτως ἐκτίθεται (IV 94 L)· ὅτι φύσιες φυσίων μέγα διαφέρουσιν ἐς τὸ ῥηϊδίως ἐμπίπτειν τὰ ἐκπίπτοντα· διενέγκοι μὲν γὰρ ἄν τι καὶ κοτύλη κοτύλης, ἡ μὲν εὐυπέρβατος ἐοῦσα, ἡ δὲ καὶ ἧσσον. πλεῖστον δὲ διαφέρει τῶν νεύρων ὁ ἔνδεσμος, τοῖς μὲν ἐπιδόσεις ἔχων, τοῖς δὲ συνδεδεμένος. καὶ γὰρ ἡ ὑγρότης τοῖς ἀνθρώποις γίγνεται ἡ ἐκ τῶν ἄρθρων διὰ τὴν τῶν νεύρων ἀπάρτισιν, ἣν χαλαρά τε ἡ φύσει καὶ ἐπιτάσιας εὐφόρως φέρῃ. συχνοὺς γὰρ ἄν τις ἴδοι, οἳ οὕτως ὑγροί εἰσιν, ὥστε ὁπόταν ἐθέλωσιν, ἐξίστανται ἀνωδύνως. διαφέρει μέντοι τι καὶ ἕξις σώματος. τοῖς μὲν γὰρ εὖ ἔχουσιν καὶ γυῖον [καὶ] κεκαρκωμένον ἐκπίπτει ⟨τε ἧσσον ἐμπίπτει⟩ τε χαλεπώτερον. ὅταν δὲ αὐτοὶ ἑωυτῶν λεπτοὶ καὶ ἄσαρκοι ἕωσι, τότε ἐκπίπτει τε μᾶλλον, ἐμπίπτει τε ῥᾷον· σημεῖον δὲ ὅτι ταῦτα οὕτως ἔχει καὶ τόδε. τοῖσι γὰρ βουσὶν οἱ μηροὶ τότε ἐκπίπτουσιν ἐκ τῆς κοτύλης, ἡνίκα ἂν αὐτοὶ ἑωυτῶν λεπτότατοι ἔωσιν. ταῦτα ὑπομένουσιν ἐπὶ πάντων τῶν ἄρθρων κοινῶς, καὶ οὐκ ἐπὶ μόνου ὤμου εἰρῆσθαι διαληπτέον. οὐ μὴν ἀλλὰ καὶ αὐτὸς διὰ τῶν ἑπομένων οὕτως πεποίηκεν φανερόν, συνοικειῶν τὸν λόγον (IV 260 L)· μηροῦ δὲ καὶ

---

1 γεγονός τι προεξυνιεναι δὲ δή οἴονται 3 τὰ ἕκαστα 4 ες τον ἀνηκεστον ἀνικεστα 5 λυμηνηται προβλήματα 6 ὁπη αν ἀκεστα 7 ἀνικεστον 10 ἔχουσιν: ἔχωσι Dtz 11 ραδειως δυσκωλως 13 επιδοσιν (o inraura m. prima) ἠτιαται: αἰτιᾶται Dtz ως δε: corr. Dtz 14 τῶν μηρων: corr. Dtz [μὴ] seclusi 15 φυσει ex φυσι fecit m. prima 16 πολυγράφω: correxi 18 καταρτισμοῦ τὴν μνείαν ποιούμενος iungenda 20 ῥηϊδειως (ex ῥηιδιως fecit m. prima) εκπίπτειν διενεγκε 21 ἢν μὲν ευυπερβατος (sic) 22 επιδοσει ἔχων, οἷς δὲ 23 ἀπάρτησιν 25 ὁποτ'ἂν ἐθέλωσιν 26 καὶ σεσαρκομένον: seclusi [καὶ] 28 ὦσιν ενπιπτει ταυτα (primam litteram supra lineam adscripsit m. prima) 29 τοῖς 31 εἰρεισθαι 32 συνοικιῶν: corr. Dtz

Digitized by Google

βραχίονος κεφαλαὶ παραπλησιώτατα ὀλισθάνουσιν· εἶτ' εἰρομένως οὐ περὶ τοῦ τὸ νεῦρον ἀποσπασθῆναι τὴν μνείαν ποιεῖται, ἀλλὰ περὶ τῆς τῶν ἄρθρων κεφαλῆς καὶ τῶν κοιλωμάτων τῶν δὴ κοτυλῶν λεγομένων ὅτι παραπλήσιαί εἰσιν, ὅθεν ἐπιλέγει ταυτί (IV 262 L)· διὰ τοῦτο οὐκ ἔστιν αὐτοῖς τὸ ἥμισυ ἐκστῆναι τοῦ ἄρθρου· εἶτ' ἐπιφέρει (IV 262 L)· περὶ οὗ οὖν ὁ λόγος ἐστίν, ἐκπίπτουσιν τελείως, ἐπεὶ ἄλλως γε οὐκ ἐκπίπτουσιν· ὁμοίως δὲ καὶ ταῦτα ὁτὲ μὲν πλεῖον ἀποπηδᾷ ἀπὸ τῆς φύσιος, ὁτὲ δὲ ἔλαττον, μᾶλλον δ' ἔτι μηρὸς τοῦτο βραχίονος πέπονθεν. ἱκανῶς δὲ ἔχειν νομίζομεν πρὸς τὴν σύστασιν τὰς προκειμένας ἐκλογάς. οὐ μὴν ἀλλ' ὀλίγων ἔτι λειπομένων καὶ ταῦτα προσκατατάξομεν. κοινότερον μὲν γὰρ ἐπὶ πάντων ἱστάμενος οὕτως φησίν (IV 142 L)· ὅσα γὰρ νεῦρα καὶ μύες παρὰ ἄρθρα ἐστὶν ἢ ἀπὸ ἄρθρων ἀφ' ὧν συνδέδεται, τούτων ὅσα ἐν τῇ χρήσει πλειστάκις διακινεῖται ταῦτα καὶ ἐς τὰς κατατάσιας ἐπιδιδόναι δύναται, ὥσπερ καὶ τὰ δέρματα τὰ εὐδεψητότα⟨τα⟩ πλείστην ἐπίδοσιν ἔχει. μή ποτε οὖν καὶ τὸ ἐπὶ τῶν ἐξαρθρήσεών ποτε δύσεργον ἢ καὶ ἀνίατον γινόμεν⟨ον⟩ οὐ παρὰ νεύρου διασπασμόν εἴη συμβαῖνον, ἀλλὰ παρὰ τὸ μᾶλλον ἐξαρθρεῖν· σαφῶς γε οὖν ἐν τοῖς αὐτοῖς οὕτως διασαφεῖται (IV 260 L)· ὡς μὲν οὖν ἐν κεφαλαίῳ εἰρῆσθαι, τὰ ἄρθρα ⟨τὰ⟩ ἐκπίπτοντα καὶ τὰ ὀλισθαίνοντα διττῶς αὐτὰ ἑωυτοῖς ἐκπίπτει τε καὶ ὀλισθάνει, ὁτὲ μὲν πολὺ πλεῖον, ὁτὲ δὲ πολὺ ἔλαττον. καὶ οἷς μὲν ⟨ἂν⟩ πλεῖον ἢ ἐκπέσῃ ἢ ὀλίσθῃ, χαλεπώτερα ἐμβιβάζειν τὸ ἐπίπαν ἐστί, καὶ ἢν μὴ ἐμβιβασθῇ, μείζους καὶ ἐπιδηλοτέρας τὰς πηρώσιας ⟨καὶ⟩ κακώσιας ἴσχει τὰ τοιαῦτα.

Τούτων δὲ οὕτως εἰρημένων, ἐπανελευστέον ἐστὶν ἐπὶ τὸν προκείμενον τῆς τοῦ μηροῦ ἐμβολῆς τρόπον, ἀφ' οὗ καὶ τὴν παρέκβασιν ἐποιησάμεθα· ὑποδείξας γὰρ Ἱπποκράτης, ὅτι τοῖς πλείστοις ἐνίοτε ῥᾳδίως χωρὶς βίας μηρὸς ἐξαρθρήσας καταρτίζεται, οὕτως ἑπομένως προσδιασεσάφηκεν (IV 292 L)· εἴρηνται μὲν οὖν τρόποι κατατάσεων καὶ ἐν τοῖς ἔμπροσθεν εἰρημένοις· χρῆσθαι δὲ οἷς ἄν τις παρατύχῃ. ἵνα δὲ μὴ ἐπὶ πάντων τὸ τοῦ καταρτισμοῦ ἔργον ῥᾴδιον εἶναι διαλαμβάνηται, τὸν τρόπον τοῦτον ἐξῆς προσδιασεσάφηκεν (IV 292 L)· δεῖ γὰρ [ἂν] ἀντικατατετάσθαι ἰσχυρῶς, ἐπὶ μὲν θάτερα τὸ σκέλος, ἐπὶ δὲ θάτερα τὸ σῶμα. ἢν γὰρ εὖ καταταθῇ, ὑπεραιωρηθήσεται ἡ κεφαλὴ τοῦ μηροῦ ὑπὲρ τῆς ἀρχαίης ἕδρης. καὶ μετ' ὀλίγον φησίν (IV 294 L)· ἀλλὰ ἐλλείπουσι γὰρ ἐν τῇ κατατάσει· διὰ τοῦτο ὄχλον πλείω παρέχει ⟨ἡ⟩ ἐμβολή· ὥστε μὴ καθόλου, ἀλλὰ καὶ ποτὲ διὰ τὴν ἐπὶ πλεῖον ἐξάρθρησιν, καὶ ῥυέντος δέ τισιν παρὰ τὸν ἐν τῇ κατατάσει [δὲ] χειρισμόν, μὴ καταρτίζεσθαι μηρὸν ἐξαρθρήσαντα. ἀκολούθως δὲ τῇ κατὰ τὴν δίκην προκειμένῃ λέξει προσανακεφαλαιούμενος τὰς περὶ τοῦ μηροῦ ἐξαρθρήσεως καταρτισμοῦ διὰ τούτων διασαφεῖ (IV 292 L)· ὥσπερ μὲν οὖν καὶ πρόσθεν ἤδη εἰρήκαμεν, μέγα

1 εἶθ' εἰρομένως: correxi; εἶθ' ἑπομένως Dtz 2 αρθρων (θρων in rasura scripsit m. recentior) 3 παραπλήσιοι: correxi 4 αὐταις 7 εχει: corr. Dtz 9 καινότερον: correxi 11 πληστακης 12 ευδεψητοτα· πλειστην 13 ανιατου γινομενου παρα: correxi 14 ⟨ἂν⟩ adieci σαφῶς τε: corr. Dtz 15 εἰρεισθαι 16 αὐτα ἐν αὐτοις ολισθανει 18 ενβιβαζειν μὲν ἐνβιβασθῇ 18 τὰς πληρωσιας κακωσιας ἴσχη 20 επανελεστέον: corr. Dtz τὸ προκείμενον: corr. Dtz 22 καταρτίζεσθαι: corr. Dtz 23 προς διασεσαφικεν 26 γὰρ ἂν ἀντικατατετάσθαι: corr. Dtz 27 κατατεθῇ υπερεωρηθησεται 28 αρχαιας 31 κατάτασει δε χηρισμον: corr. Dtz τὴν κατὰ: corr. Dtz 32 προσανακεφαλεουμενος τὰς sc. λέξεις; τοὺς . . καταρτισμοὺς Dtz 33 ειρηκαμεν παρα το: f. in archetypo παρα ad κατασκευης vocem (p. 28, 2) corrigendam in mg. adscriptam errore huc tractum est

Digitized by Google

τὸ διαφέρον ἐστὶν τῶν φύσεων τοῖς ἀνθρώποις εἰς τὸ εὐέμβλητα καὶ δυσέμβλητα εἶναι τὰ ἄρθρα. ἐνίοις γὰρ μηρὸς ἐμπίπτει ἀπ' οὐδεμιῆς κατασκευῆς, ἀλλ' ὀλίγης μὲν κατατάσιος ὅσον ταῖς χερσὶ κατιθῦναι· πολλοῖς δὲ συγκάμψασιν τὸ σκέλος κατὰ τὸ ἄρθρον ἐνέπεσεν ἤδη ἀμφίσφαλσιν ποιησάμενον. ἀλλὰ γὰρ τὰ πλείω οὐδὲν ἀκούει ἀπὸ τῆς τυχούσης παρασκευῆς. διὰ τοῦτο ἐπίστασθαι μὲν χρὴ περὶ ἑκάστου ἐν πάσῃ τέχνῃ, χρῆσθαι δὲ οἷς ἂν δοκῇ ⟨....⟩ (IV 312 L)· χρὴ περὶ πλείστου ποιεῖσθαι ἐν πάσῃ τέχνῃ, [χρῆσθαι δ'] ὅπως ὑγιῆ ποιήσειε τὸν νοσέοντα. εἰ δὲ πολλοὺς τρόπους οἷόν τε εἶη ὑγιέα ποιέειν, τὸν ἀοχλότατον χρὴ αἱρεῖσθαι. καὶ γὰρ ἀνδραγαθικώτατον τοῦτο καὶ τεχνικώτατον ἄν τις ὑπολάβοι, ὅστις μὴ ἐπιθυμεῖ δημοειδέος κιβδηλίης. ὁ δὴ διὰ πάντων τούτων δεόντως καὶ φιλαλήθως περὶ μηροῦ ἐξαρθρήσεως διεσταλμένος πῶς σημαίνει, εἴπερ μὴ καταρτισθεὶς ἐπέμενεν, ἀλλὰ πάλιν ἐξήρθρει, κατασιωπῆσαι; ἀλλ' οὐχὶ πᾶν τοὐναντίον ὤφειλεν τὸ συμβαῖνον δηλῶσαι;

Τὰ μὲν οὖν πρὸς Ἡγήτορα ἐν κεφαλαίοις περὶ τῆς τοῦ μηροῦ ἐξαρθρήσεως ἀναγκαίως ἔχοντα ῥωσθῆναι ταῦτ' ἐστιν, τὴν δὲ διὰ τῆς προκειμένης ὀργανικῆς σανίδος ἐμβολὴν ἐπὶ τοῦ εἰς τὸ ἔσω μέρος ὠλισθηκότος μηροῦ τὸν ὑποτεταγμένον διὰ τοῦ ὑποδείγματος τρόπον χρὴ ποιεῖσθαι.

(Tabvla XXV)

Περὶ μὲν οὖν τοῦ μηροῦ εἰς τὰ ἔσω ἐξαρθρήσεως τὰς προκειμένας σημειώσεις τε καὶ ἐμβολὰς κατακεχώρικεν· περὶ δὲ τῶν λοιπῶν τρόπων διὰ τῶν ἐχομένων μνημονεύων πρότερον περὶ τῆς εἰς τὸ ἔξω μέρος ἐξαρθρήσεως οὕτως ὑπογέγραφεν (IV 238 L)· ὅσοις δ' ἂν εἰς τὸ ἔξω μηροῦ κεφαλὴ ἐκβῇ, βραχύτερον μὲν τὸ σκέλος φαίνεται παρατεινόμενον παρὰ τὸ ἕτερον εἰκότως. οὐ γὰρ ἐπὶ τὸ ὀστέον ἡ ἀνάβασις τῇ κεφαλῇ τοῦ μηροῦ ἐστιν ὥσπερ ὅτε εἴσω ἐξέπιπτεν, ἀλλὰ ἂν παρὰ τὸ ὀστέον παρακεκλιμένην τὴν φύσιν ἔχον ἐν σαρκὶ ἐνστηρίζηται ὑγρῇ καὶ ὑπεικούσῃ, διὰ τοῦτο μὲν βραχύτερον φαίνεται· ἔσωθεν δὲ ὁ μηρὸς παρὰ τὴν πλιχάδα καλεομένην κυλλότερος καὶ ἀσαρκότερος φαίνεται· ἔξωθεν δὲ ὁ γλουτὸς κυρτότερος, ἅτε ἐς τὸ ἔξω τῆς κεφαλῆς τοῦ μηροῦ ὠλισθηκυίης. ἀτὰρ καὶ ἀνωτέρω φαίνεται ὁ γλουτός, ἅτε ὑπειξάσης τῆς σαρκὸς τῇ τοῦ μηροῦ κεφαλῇ· τό τε παρὰ τὸ γόνυ τοῦ μηροῦ ἔσω ῥέπον φαίνεται καὶ ἡ κνήμη καὶ ὁ πούς. ἀτὰρ οὐδὲ συγκάμπτειν ὥσπερ τὸ ὑγιὲς σκέλος δύναται. τὰ μὲν σημεῖα ταῦτα τοῦ ἔξω ἐκπεπτωκότος μηροῦ. οἷς μὲν οὖν ἂν ἤδη τετελειωμένοις ἐκπεσὸν τὸ ἄρθρον μὴ ἐμπέσῃ, τούτοις μὲν βραχύτερον φαίνεται τὸ σύμπαν σκέλος· ἐν δὲ τῇ ὁδοιπορίῃ τῇ μὲν πτέρνῃ οὐ

---

1 ευμετάβλητα 2 κατασκευης 5 άκουη 6 supplendum: ⟨καὶ πάλιν⟩ vel simile aliquid 7 ποιησθαι χρεισθαι δ' ex vs. sup. errore iterata seclusi 8 οίονται εἴη ὑγειεα 9 ἐρεισθαι ἀνδραεθικωτατον 10 επιθυμῆ δημιοειδεος κιβδηλιος δεὸντος: corr. Dtz 11—13 nondum persanata 12 συμβᾶν ὦ δηλῶσαι: correxi; ὦ delevit Dtz 15 ρωσθῆναι (i. e. confirmari) recte tradi puto; ῥηθῆναι Dtz 16 ολισθηκοτος 21 δὰν 23 εικοτος η αναβασις η κεφαλη του 24 εσω (ες in rasura m. recentior) 25 ἐνστηρίζεται 26 κοιλοτερος 27 εις 28 ολισθηκυῖης ὁ μηρος ἅτε υπηξασης 30 κνίμη 31 εκπεπτοκοτος 32 ἐκπεσὸν ex ἐμπεσὸν fecit m. prima ἄρθρον ἡ ἐμπέσῃ

Digitized by Google

δύνανται καθικνεῖσθαι ἐπὶ τὴν γῆν, τῷ δὲ στήθει τοῦ ποδὸς βαίνουσιν ὀλίγον ἐπὶ τὴν γῆν· εἰς ⟨δὲ⟩ τὸ ἔσω ῥέπουσιν ἄκροις [δὲ] τοῖς δακτύλοις. ὀχεῖν δὲ τὸ σῶμα δύναται τὸ σιναρὸν σκέλος τούτοις πολλῷ μᾶλλον ἢ οἷς ἂν εἰς τὸ εἴσω μέρος ἐκπεπτώκῃ. οὐ μόνον δὲ ἐπὶ τῶν τελείων, ἀλλὰ καὶ ἐπὶ τῶν ἔτι ὄντων ἐν αὐξήσει ἐπὶ πάσης μηροῦ ἐξαρθρήσεως, ὅταν μὴ κρατηθῇ, τὰ [μὴ] παρακολουθοῦντα διηρίθμηται, ἃ δὴ παρήσομεν· τοῦτο δὲ μόνον εἰς ὑπόμνησιν ἀκτέον, διότι εἰ καθόλου μηρὸς ἐξαρθρήσας καὶ καταρτισθεὶς οὐκ ἐπέμενεν ἐν τῇ κατὰ φύσιν χώρᾳ, σαφῶς ἂν αὐτὸς ὁ Ἱπποκράτης σεσημάγκει, πάντα τε τὰ ἀποβαίνοντα ἐμπείρως περὶ τὴν ἐξάρθρησιν ταύτην ἐκτεθειμένος, καὶ ἐπὶ τῶν μὴ κρατηθέντων γραφικῶς σφόδρα [ἢ] αὐτῆς τῆς ἀληθείας τὰς ἀπορίας ὑπογεγραφώς, ἃ δὴ σημαίνει, καθάπερ ὑποδεδείχαμεν, μὴ ματαιοπόνον γεγονέναι μηδὲ ἀνωφελεῖς καταρτισμοὺς ἐκτεθεῖσθαι. τοῦ προκειμένου δὲ τῆς ἐξαρθρήσεως τρόπου τὴν ἐμβολὴν οὕτως φησὶ ποιεῖσθαι (IV 302 L)· ἢν δὲ εἰς τὸ ἔξω μέρος τοῦ μηροῦ ἡ κεφαλὴ ὀλίσθῃ, τὰς μὲν κατατάσιας ἔνθα καὶ ἔνθα οὕτως χρὴ ποιεῖσθαι ὥσπερ εἴρηται ἢ τοιουτοτρόπως· τὴν δὲ μόχλευσιν πλάτος ἔχοντι μοχλῷ μοχλεύειν χρὴ ἅμα τῇ κατατάσει ἐκ τοῦ ἔξω μέρους ἐς τὸ ἔσω ἀναγκάζοντα, κατ' αὐτόν τε τὸν γλουτὸν τιθέμενον τὸν μοχλὸν καὶ ὀλίγῳ ἀνωτέρω. ἐπὶ δὲ τὸ ὑγιὲς ἰσχίον κατὰ τὸν γλουτὸν ἀντιστηριζέτω τις ταῖς χερσίν, ὡς μὴ ὑπείκῃ τὸ σῶμα ἢ ἑτέρῳ τοιούτῳ μοχλῷ ὑποβάλλων καὶ ἐρείσας ἐκ τῶν καπέτων τὴν ἁρμόζουσαν ἀντικατεχέτω· τοῦ δὲ μηροῦ τοῦ ὠλισθηκότος τὸ παρὰ τὸ γόνυ ἔξωθεν εἴσω ἡσύχως παραγέτω. ἡ δὲ κρέμασις οὐχ ἁρμόζει τούτῳ τῷ τρόπῳ τῆς ὀλισθήσεως τοῦ ἄρθρου· ὁ γὰρ πῆχυς τοῦ ἐκκρεμαμένου ἀπωθοίη ἂν τὴν κεφαλὴν τοῦ μηροῦ ἀπὸ τῆς κοτύλης. τὴν μέντοι σὺν τῷ ξύλῳ τῷ ὑποτεινομένῳ μόχλευσιν μηχανήσαιτ' ἄν τις, ὥστε ἁρμόσαι τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ἔξωθεν προσαρτέων. ἀλλὰ τί καὶ ⟨δεῖ πλείω λέγειν;⟩ ἢν γὰρ ὀρθῶς μὲν καὶ εὖ κατατείνηται, ὀρθῶς δὲ μοχλεύηται, τί ἂν οὐκ ἐμπέσοι ἄρθρον οὕτως ⟨ἐκπεπτωκός; ....⟩ ἐκπεπτωκότος διαφεύγοι ἂν εἰ ὀρθῶς μὲν καὶ εὖ κατατείνοιτο, ὥστε καὶ ἐφ' οὗ ποιεῖται τὸν λόγον μηροῦ καταρτίζεσθαι. εἰ δὲ τοῦτο μὴ φήσουσιν δυνατὸν γίνεσθαι, πάλιν δὲ ἐξαρθρεῖν, παντελῶς εὐήθεις ἔσονται. ὁ γὰρ Ἱπποκράτης πικρῶς πάντα παρατετηρηκὼς καὶ τοῦτ' ἂν ἡμῖν εἰς ἐμφάνειαν ἀγηόχει· πλὴν ὅ γε καταρτισμὸς τοῦ εἰς τὸ ἔξω ἐκπεσόντος μηροῦ οὕτως ἂν διὰ τοῦ ὑποδείγματος ἐπιτελοῖτο.

(Tabvla XXVI)

Περὶ δὲ τῆς εἰς τὸ ὄπισθεν μέρος [τῆς] ἐξαρθρήσεως οὕτως ὑποδέδειχεν (IV 244 L)· οἷς δὲ ἂν [ἡ] εἰς τὸ ὄπισθεν ἡ κεφαλὴ τοῦ μηροῦ ἐκπέσῃ, ὀλίγοις δὲ ἐκπίπτει,

---

1 το δε 2 δε transposui ωχειν 3 τουτ' ει πολλω εσω 5 [μη] seclusi; μεν Dtz 7 σεσημανκει 9 [ἡ] seclusit Dtz; an σφόδρα τι? 10 ματαιόπονον 13 τοιουτοτροπος 14 εις το εξω μερος εις το εσω 16 ανοτερω 18 καπεδων αντικάτωχε δε μήποτε τοῦ μηροῦ του ολισθηκοτος 19 εσω ἡ ουχως παραγετω m. prima (ς ex ο fecit m. recentior) 21 αποθέοι 22 συν το μοχλευσειν μηχανης άπαν τις 23 πρὸς ἀκτέον 24 και μην γαρ έτι αν 25 lacunam aute εκπεπτωκότος indicavi; μὲν deleverim 26 εἰ δὲ μὴ τοῦτο μὲν φήσουσιν: correxi; μὴ adscriptum ut corrigeretur μὲν οἷ ante τοῦτο inserebat Dtz 28 εμφανειαν ex εμφανιαν fecit m. prima ἀπώχειι correxi 31 τῆς del. Dtz 32 εκπέσοι

Digitized by Google

οὗτοι ἐκτανύειν οὐ δύνανται τὸ σκέλος οὔτε κατὰ τὸ ἄρθρον τὸ ἐκπεσὸν οὔτε κατὰ τὴν ἰγνύην, ἀλλ' ἥκιστα τῶν ἐκπαλέων οὗτοι ἐκτανύουσιν καὶ τὸ κατὰ τὸν βουβῶνα ⟨καὶ τὸ κατὰ τὴν ἰγνύην⟩ ἄρθρον ⟨....⟩ (IV 246 L)· περὶ οὗ ὁ λόγος, οὔτε ἐκτανύειν δύνανται, ὥσπερ ἤδη εἴρηται, βραχύτερόν τε τὸ σκέλος φαίνεται. καὶ μετά τινας ἀριθμοὺς ταῦτ' ἐπιλέγει· κάμπτειν μέντοι δύνανται, ὅσον μὴ ὀδύνη κωλύει, καὶ ἡ κνήμη τε καὶ ὁ ποὺς ἐπιεικῶς ὀρθὰ φαίνεται, οὔτε τῇ οὔτε τῇ ἐκκεκλιμένα. κατὰ ⟨δὲ⟩ τὸν βουβῶνα δοκεῖ τι ἡ σὰρξ λαπαρωτέρη εἶναί ποτε καὶ ψαυομένη, ἅτε τοῦ ἄρθρου ἐπὶ τὰ ἕτερα ὠλισθηκότος. κατὰ δὲ αὐτοῦ τὸ πυγαῖον διαψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ δοκεῖ τι ἐξογκεῖν μᾶλλον. τὰ μὲν σημεῖα ταῦτα, ᾧ ἂν εἰς τὸ ὄπισθεν ἐκπεπτώκῃ. πάλιν δὲ καὶ ἐπὶ ταύτης τῆς ἐξαρθρήσεως περὶ τῶν μὴ κρατηθέντων διὰ πλειόνων μέμνηται, ἃ δὴ παρέντες αὐτὸ μόνον ⟨.....⟩ οὕτως προστάξομεν (IV 248 L)· ὅτεῳ μὲν οὖν τετελειωμένῳ ἤδη ἐκπεσὸν μὴ ἐμπέσῃ, ὁδοιπορεῖν μὲν δύναται, ὅταν χρόνος ἐγγένηται καὶ ἡ ὀδύνη παύσηται καὶ ἐθισθῇ τὸ ἄρθρον ἐν τῇ σαρκὶ ἐνστροφᾶσθαι. ἀναγκάζεται μέντοι ἰσχυρῶς ἐγκάμπτων κατὰ τοὺς βουβῶνας ὁδοιπορεῖν διὰ δισσὰς προφάσιας. περὶ μὲν οὖν τῆς σημειώσεως καὶ τῶν ἀποβαινόντων ταῦτα ἐξηρίθμηται· περὶ δὲ τῆς ἐμβολῆς διὰ τούτων σεσήμαγκεν (IV 304 L)· οἷς δὲ εἰς τὸ ὄπισθεν ὁ μηρὸς ἐκπεπτώκει, τὰς μὲν κατατάσιας καὶ ἀντιτάσιας οὕτως δεῖ ποιεῖσθαι, ὥσπερ ἤδη εἴρηται· ὑποστρώσαντα δὲ ὑπὸ τὸ ξύλον ἱμάτιον πολύπτυχον μαλθακώτατον πρηνέα κατακλίναντα τὸν ἄνθρωπον οὕτως κατατείνειν, ἅμα δὲ τῇ κατατάσει χρὴ τῇ σανίδι καταναγκάζειν τὸν αὐτὸν τρόπον ὥσπερ τὰ ὑβώματα κατ' ἴξιν τοῦ πυγαίου ποιησάμενον τὴν σανίδα μᾶλλον ἐς τὸ κάτω μέρος ἢ ἐς τὸ ἄνω τῶν ἰσχίων. καὶ ἡ ἐντομὴ ἐν τῷ τοίχῳ τῇ σανίδι μὴ εὐθεῖα ἔστω, ἀλλ' ὀλίγον καταφερὴς πρὸς τὸ τῶν ποδῶν μέρος. αὕτη ἡ ἐμβολὴ κατὰ φύσιν μάλιστα τῷ τρόπῳ τούτῳ τοῦ ὀλισθήματός ἐστιν καὶ ἅμα ἰσχυροτάτη. δεῖ δὲ τὴν τοῦ προκειμένου ἄρθρου ἀποκατάστασιν τῷ τρόπῳ τούτῳ ποιεῖσθαι.

(Tabvla XXVII)

Ἔτι δὲ τῆς προκειμένης ἐξαρθρήσεως καταρτισμοῦ τρόπον τοιοῦτόν τινα ὑπογέγραφεν (IV 306 L)· ἀρκέσειε δ' ἂν ἴσως ἀντὶ τῆς σανίδος καὶ ἐφεζόμενόν τινα ἢ ταῖς χερσὶν ἐρεισάμενον ἢ ἐπιβάντα ἐξαπίνης ἐπαιωρηθῆναι ἅμα τῇ κατατάσει. ἄλλη δὲ οὐδεμία ἐμβολὴ τῶν πρόσθεν εἰρημένων κατὰ φύσιν ἐστὶν τῷ τρόπῳ τούτῳ τοῦ ὀλισθήματος. αὗται δὲ πᾶσαι δίκαιαι. οὐκ ἀναγκαῖον δὲ ἔσται πάντα τὰ ὑποδείγματα ἐπὶ τούτων τάσσειν. ἐν γὰρ τῷ πρὸ τούτου βιβλίῳ παραπλησίως ἐπὶ τῶν σφονδύλων ὑποδεδείχαμεν· ὅθεν ἐν τούτοις ἐφ' ἑνὸς μόνου τοῦ διὰ τῶν χειρῶν γινομένου τρόπου στάντες

---

2 ἀλλὴ μαλιστα τῶν ἔκπαλαι ὧν· οὗτοι τον κατα 3 lacunam indicavi ⟨καὶ πάλιν⟩ sim. excidisse ratus 6 κνίμη ορθως 8 ὀλισθηκοτος 11 ⟨τὸ καίριον⟩ vel sim. supplenda 12 προτάξομεν: correxi ενπέση 13 δυνανται ενγενηται 14 εθεισθη ενκαμπτων et οδοπορεειν 15 δηccας 16 cεcημανκεν 17 τοῖcιν δε 19 μαλθακότατον πρηναῖα κατακλῖναι 21 κατήξειν τῇ σανιδα (sic) 22 τυχω 24 το τροπω τουτο: τὸν τρόπον τοῦτον Dtz 29 εξαπεινης ἐπεωρηθήναι 30 ουδεμιας 31 δικαιε 32 τὸ προ

ὑποτράφομεν. τὸ γὰρ αὐτὸ ἐπιτελοῖτ' ἂν ὁτὲ μὲν ἐφεζομένων, ὁτὲ δὲ ἐπιβαινόντων τῷ ποδὶ καὶ ἐποχουμένων τινῶν. τὸ ὑπόδειγμα τοῦτο⟨ν⟩ ἂν ἔχοι τὸν τρόπον.

(Tabvla XXVIII)

Περὶ δὲ τῆς λειπομένης μηροῦ ἐξαρθρήσεως οὕτως μέμνηται (IV 254 L)· οἷς δ' ἂν εἰς τὸ ἔμπροσθεν κεφαλὴ μηροῦ ἐκπέσῃ, ὀλιγάκις δὲ τοῦτο γίγνεται, οὗτοι ἐκτανύειν μὲν τὸ σκέλος οὐ δύνανται τελείως, συγκάμπτειν δὲ ἥκιστα οὗτοι δύνανται τὸ κατὰ τὸν βουβῶνα. πονέουσι δὲ καὶ ἣν κατὰ τὴν ἰγνύην ἀναγκάζωνται συγκάμπτειν, μῆκός τε τοῦ σκέλους παραπλήσιον φαίνεται κατὰ μὲν τὴν πτέρνην καὶ πάνυ· ἄκρος δὲ ὁ ποὺς ἧσσον προκύπτειν θέλει εἰς τὸ ἔμπροσθεν· ὅλον δὲ τὸ σκέλος ἔχει τὴν εὐθυωρίαν τὴν κατὰ φύσιν καὶ οὔτε τῇ οὔτε τῇ ῥέπει. ὀδυνῶνται δὲ τὸ αὐτίκα εἶναι οὗτοι μάλιστα καὶ οὖρον ἴσχεται τὸ πρῶτον τούτοις μᾶλλόν τι ἢ τοῖς ἄλλοις ἐξαρθρήμασιν. ἔγκειται γὰρ ἡ κεφαλὴ τοῦ μηροῦ ἐγγυτάτω τούτοις τῶν τόνων τῶν ἐπικαίρων, περὶ ὧν οἶδας, καὶ κατὰ μὲν τὸν βουβῶνα ἐξογκέον καὶ κατατεταμένον τὸ χωρίον φαίνεται, κατὰ δὲ τὸ πυγαῖον στολιδωδέστερον καὶ ἀσαρκωδέστερον. ταῦτα σημεῖα τὰ εἰρημένα, ᾧ ἂν οὕτως ἐκπεπτώκῃ. ὅσοις μὲν οὖν ⟨ἂν⟩ ἤδη ἠνδρωμένοις τοῦτο τὸ ἄρθρον ἐκπεσὸν μὴ ἐμπέσῃ, οὗτοι ὅταν αὐτοῖς ἡ ὀδύνη παύσηται καὶ τὸ ἄρθρον ἐθισθῇ ἐν τῷ χωρίῳ στρέφεσθαι ἵνα ἐξέπεσεν, οὗτοι δύνανται σχεδόν τι ὀρθοὶ ὁδοιπορεῖν ἄνευ ξύλου. καὶ τὰ λοιπὰ δὲ ἑξῆς τὰ παρακολουθοῦντα καὶ τὰ ἐπὶ τῶν ἔτι ἐν αὐξήσει ὄντων περιέργως διηρίθμηται, ἃ παρέντες ἐπὶ τὸν τῆς ἐμβολῆς τρόπον ἐπανάξομεν· ἐκτέθειται δ' αὐτὸν οὕτως· ἢν δὲ εἰς τὸ ἔμπροσθεν ἐξολίσθῃ, τῶν μὲν κατατασίων ὁ αὐτὸς τρόπος ποιητέος· ἄνδρα δὲ χρὴ ὡς ἰσχυρότατον ἀπὸ χειρῶν καὶ ὡς εὐπαιδευτότατον ἀνερείσαντα τὸ θέναρ τῆς ἑτέρης χειρὸς παρὰ τὸν βουβῶνα καὶ τῇ χειρὶ τῇ ἑτέρῃ τὴν ἑωυτοῦ χεῖρα προσκαταλαμβάνοντα ἅμα μὲν ἐς τὸ κάτω μέρος ὠθέειν τοῦ ὀλισθήματος, ἅμα δ' ἐς τοὔμπροσθεν τοῦ γούνατος μέρος. οὗτος ὁ τρόπος ἐμβολῆς κατὰ φύσιν μάλιστα τούτῳ τῷ ὀλισθήματι. ταῦτα μὲν οὕτως ἐκτέθειται. δεῖ δὲ διὰ τοῦ ὑποκειμένου ὑποδείγματος τὸν εἰς τὸ ἔμπροσθεν ἐξαρθρήσαντα μηρὸν οὕτως ἐντιθέναι.

(Tabvla XXIX)

Ἐπεὶ δὲ οὐ μόνον τὸν προκείμενον καταρτισμὸν ἐπὶ τοῦ εἰς τὸ ἔμπροσθεν ἐξαρθρήσαντος μηροῦ κατακεχώρικεν, ἀλλὰ καὶ τὸν ἐπὶ κεφαλῆς γινόμενον καταρτισμὸν συνεπιδεῖται τὸ κατὰ φύσιν ἐπὶ τῷ αὐτῷ τρόπῳ τοῦτον διείληφεν, ἀναγκαῖον ἂν εἴη καὶ ταύτην τὴν ἐμβολὴν ὑποτάξαι πρὸς τὸ μηδέν σε τῶν πρὸς τὰ προκείμενα εἰρημένων διαλαθεῖν. διασαφεῖ

---

1 ὑποτράφωμεν: corr. Dtz 2 τουτο: corr. Dtz 5 ες ολήτα δε ταυτα 7 ἀπονέουσιν ἀναγκαζονται 9 ακρως 10 σκελλος 11 τω αὐτίκα ειναι ουτω 12 ἔνκειται 13 τουτοισι 14 ἐξογκαῖον 20 ἀπεροντες: corr. Dtz επαναξωμεν: correxi 21 ες 22 ποιητεως 23 ανερησαντα 24 προκαταλαμβανοντα ὀθεειν 26 οὕτως 27 δυ$^{\tau}$ i. e. οὕτως; οὖν Dtz 32 το κατα: 'conjicio: συνεπιδεῖ τε τῷ κ. φύσιν καὶ ἐπ' Dtz; emendatio incerta 33 υποταξω

Digitized by Google

δὲ περὶ αὐτῶν διὰ τῶν ἐχομένων τούτων (IV 308 L)· ἀτὰρ καὶ ὁ κρεμασμὸς ἐγγύς τι τοῦ κατὰ φύσιν. δεῖ μέντοι τὸν ἐκκρεμάμενον ⟨ἔμπειρον⟩ εἶναι, ὡς μὴ ἐκμοχλεύειν τῷ πήχει τὸ ἄρθρον, ἀλλὰ κατὰ μέσον τὸν περίναιον καὶ κατὰ τὸ ἱερὸν ὀστέον τὴν ἐκκρέμασιν ποιητέον. ὁ δὲ καταρτισμὸς ὁ διὰ τοῦ κρεμασμοῦ οὕτως ⟨ἂν⟩ ἐπιτελοῖτο.

(Tabvla XXX)

Περὶ μὲν οὖν μηροῦ ἐξηρθρηκότος σημειώσεών τε καὶ ἐμβολῶν καὶ τῶν τούτων ὑποδειγμάτων, ὃν τρόπον προεθέμεθα, καθ' Ἱπποκράτην δεδήλωταί σοι· περὶ δὲ γόνατος καὶ σφυροῦ τῷ τὸν καταρτισμὸν αὐτῶν ἁπλούστερον εἶναι οὐ δυνατὸν δι' ὑποδειγμάτων ἐμφανίσαι σοι, ὅθεν τὰ ὑπὸ τοῦ Ἱπποκράτους ἐν τοῖς ἐφεξῆς περὶ αὐτῶν διασεσαφημένα μόνον ἐκθήσομαι, χάριν τοῦ τετελειωμένην ἐν τοῖς ⟨τρισὶ⟩ βιβλίοις ἔχειν σε τὴν καθ' Ἱπποκράτην περὶ ἄρθρων θεωρίαν. διασαφεῖ δὲ περὶ γόνατος τοῦτον τὸν τρόπον (IV 320 L, cf. 370)· γόνυ δὲ ἀγκῶνος εὐηθέστερόν ἐστιν διὰ τὴν εὐσταλίαν καὶ εὐφυΐαν· διὸ καὶ ἐκπίπτει καὶ ἐμπίπτει ῥᾷον. ἐκπίπτει δὲ πλειστάκις ἔσω, ἀτὰρ καὶ ἔξω καὶ ὄπισθεν. ἐμβολαὶ δὲ ἐκ τοῦ συγκεκάμφθαι ἢ ἐκλακτίσαι ὀξέως ἢ συνελίξας ταινίης ὄγκον, ἐν τῇ ἰγνύῃ θείς, ἀμφὶ τοῦτον [τὸν] ἐξαίφνης εἰς ὄκλασιν ἀφιέναι τὸ σῶμα. μάλιστα αὗται τῶν ὄπισθεν ⟨.....⟩ συγκάμπτειν οὐ δύνανται, ἀτὰρ οὐδὲ τοῖς ἄλλοις πάνυ· μινύθει δὲ μηροῦ καὶ κνήμης τὰ ἔμπροσθεν. ἢν δὲ ἐς τὸ εἴσω, βλαισότεροι· μινύθει δὲ τὰ ἔξω. ἢν δὲ ἐς τὸ ἔξω, γαυσότεροι, χωλοὶ δὲ ἧσσον. κατὰ γὰρ τὸ παχύτατον ὀστέον ὀχέει, μινύθει δὲ τὰ ἔσω. ἐκ γενεῆς δὲ ἢ ἐν αὐξήσει κατὰ λόγον τὸν ἔμπροσθεν. τὰ δὲ κατὰ τὰ σφυρὰ κατατάσιος ἰσχυρῆς δεῖται ἢ ταῖς χερσὶν ἢ ἄλλοις τισί, διορθώσιος δὲ ἅμα ἀμφότερα ποιούσης· κοινὸν δὲ τοῦτο πᾶσιν.

Τούτων δ' οὕτως ἐχόντων ἀναγκαῖον εἶναι νομίζομεν, ἅπερ ἐν τοῖς ⟨ἐπὶ⟩ πᾶσιν ἀνακεφαλαιούμενος περὶ πασῶν τῶν ἐμβολῶν κατακεχώρικεν, εἰρομένως ὑποτάξαι. μᾶλλον γάρ πως καὶ διὰ τούτων παρακολουθήσεις τῷ περὶ ἄρθρων καταρτισμῶν. ἐκτέθειται δὲ τὸν τρόπον τοῦτον (IV 136 L, cf. 358)· τῶν δὲ ἐμβολέων αἱ μὲν ἐξ ὑπεραιωρήσιος ἐμβάλλονται, αἱ δὲ ἐκ κατατάσιος, αἱ δὲ ἐκ περισφάλσιος. αὗται δὲ ἐκ τῶν ὑπερβολέων τῶν σχημάτων ἢ τῇ ἢ τῇ σὺν τῷ τάχει. ὦμον δέ, αὐτὸς ὑποθεὶς τὴν πυγμὴν ἀνωθεῖν τὴν τοῦ βραχίονος κεφαλήν· τὸν δὲ ἀγκῶνα παράγειν πρὸς τὸν ἕτερον· ἀτὰρ καὶ ὀπίσω περιανάγκασις. ἄλλο[ν] δέ, τοῖς γόνασιν τὸν ἀγκῶνα ἀπωθεῖν, τῇ κεφαλῇ ἐς τὸ ἀκρώμιον, ὑπὸ δὲ τὴν μασχάλην τοῦ βραχίονος ταῖς χερσὶν λαβών, κάτω κατάγειν καὶ προσάγειν ἀντία τῇ ἑαυτοῦ κεφαλῇ. ἄλλη. ἔχεσθαι τὸν

---

3 περίνεον 4 ⟨ἂν⟩ suppl. Dtz 7 καὶ τῶν τούτων: διὰ τ. τούτων R. Schoene 8 ἱπποκρατη: corr. Dtz 9 των τὸν: corr. Dtz αυτων ex αυτοι fecit m. prima οὐ δυνατον: οὐ δέον R. Schoene; at cf. p. 10, 23 10 μόνον ἐκθησωμαι: corr. Dtz 11 ⟨τρισὶ⟩ add. Brinkmann ἄρθρων ex ἄρθροι fecit m. prima 14 πλιστακης εσωτε ἀτὰρ 16 αμφι τουτου τον εξεφνης 18 εσω βλεσωτεροι 20 των 21 αλλοισι τοισι 22 αμφωτερα τουτων 23 supplevi εμβολεων ειρωμενος: correxi; ἐχομένως Dtz 25 τῶν περὶ: correxi εκτεθηται 26 υπερεωρησιος 28 ἀνωθη 29 παραγων 30 ἀπωθει 31 κεφαλη τω ακρωμιον

Digitized by Google

ἑαυτοῦ ὦμον τῇ μασχάλῃ ἁρμόζοντα, ὥστε ἀνοχηθῆναι, ἅμα κρέμασθαι κατὰ τὴν μασχάλην, ἐκ δὲ τοῦ βραχίονος ἐκκρεμασθῆναι, ταῖς χερσὶν διορθοῦν. ἄλλη. πτέρνῃ, πληρώσαντα μασχάλην σφαιροειδεῖ, ἐμβάλλοντα ὠθεῖν, τὴν δὲ χεῖρα ταῖς χερσὶν ἀντικατακείμενον, τὸ δὲ σῶμά τινα κατέχειν, ὡς μὴ περιρρέπῃ· ταῦτα χαμαὶ κείμενον. ἄλλη. περίοδος περὶ ὕπερον. ἄλλη. τῷ ὑποτεινομένῳ ξύλῳ. νῦν τὸ ὑποτεινόμενον τὴν ἄμβην λεγομένην βεβούληται δηλοῦν, ῥητῶς δὲ κατακεχωρικὼς εὖ καὶ περὶ κλιμάκων καταρτίζεται φανερὸν πεποίηκεν τὸ ἐν τοῖς πρώτοις ἡ δια ὅτι κλῖμα⟨ξ⟩ καὶ οὐδὲν ἕτερόν [ὅτι κλῖμαξ] ἐστιν. ταύτας μὲν οὖν τὰς ἐμβολὰς ὃν τρόπον δεῖ ποιεῖσθαι, διὰ τοῦ πρώτου βιβλίου φανερά σοι καθεστάκαμεν. περὶ δὲ τῶν λοιπῶν αὐτὸς οὕτως διασαφεῖ (IV 382 L)· νόμος ἐντολῆς, διορθώσιος, ⟨ὄνος⟩, μοχλός, σφήν, ἵπ[π]ος, ὄνος μὲν ἀνάγειν, ὁ μοχλὸς δὲ παράγειν. τὰ δὲ ἐμβλητέα ἢ διορθωτέα διαναγκάσαι δεῖ ἐκτείναντα, ἐν ᾧ ἕκαστα σχήματι μέλλει ὑπεραιωρηθήσεσθαι, τὸ ἐμβὰν ὑπὲρ τούτου ὅθεν ἐξέβη· τοῦτο δὲ χερσὶν ἢ κρεμασμῷ ἢ ὄνοις ἢ περί τι [χερσίν]. χερσὶν μὲν οὖν ὀρθῶς κατὰ μέρη. ⟨καρπόν⟩ τε καὶ ἀγκῶνα ἀπόχρη ἀναγκάζειν, καρπὸν μὲν ἐς εὐθὺ ἀγκῶνος, ἀγκῶνα δὲ ἐγγώνιον πρὸς βραχίονα ἔχοντα περὶ [τ]οῖον τὸ τῷ βραχίονι [τὸ] ὑπὸ τὴν χεῖρα ὑποτεινόμενον· οἷς δὲ δακτύλου, χειρός, ποδός, καρποῦ, ὑβώματος ⟨ἐς⟩ τὸ ἔξω, ταῦτα διαναγκάσαι καὶ καταναγκάσαι δεῖ, τὰ μὲν ἄλλα ἀπὸ χειρῶν, διανάγκασις δὲ τὰ ὑπερέχοντα ⟨ἐς ἔ⟩δραν πτέρνῃ ἢ θέναρί τινι ἐπί τινος. καὶ οὕτως ἐπὶ τῶν ὑβωμάτων ἐν κεφαλαίοις μέμνηται (IV 382 L)· τὰ δὲ ὑβώματα τὰ μὲν ἔσω οὔτε πταρμῷ οὔτε βηχὶ οὔτε φύσης ἐνέσει οὔτε σικύῃ (IV 384 L)· τὰ δὲ ἔξω κατάτασις, τὰ μὲν ἄνω ἐπὶ πόδας, τὰ δὲ κάτω τἀναντία· κατανάγκασις δὲ σὺν κατατάσει ἢ ἕδρῃ ἢ ποδὶ ἢ σανίδι. τὸν δὲ κατὰ μέρος πάλιν τούτων τῶν ἐμβολῶν τρόπον τὸ δεύτερον ἡμῖν περιέχει βιβλίον. περὶ δὲ τῶν ἐν τῷ βιβλίῳ τούτῳ καταρτισμῶν ἐν κεφαλαίοις διὰ τούτων μέμνηται (IV 370 L)· τὰ δὲ κατὰ τὰ σφυρὰ κατατάσιος ἰσχυρῆς δεῖται ἢ ταῖς χερσίν, διορθώσιος δὲ ἀμφότερα ποιούσης· κοινὸν δὲ τούτων ἅπασιν. γόνατος δέ, ἢν μὲν ὄπισθεν, ἀμφὶ ὀθόνιον συνειλιγμένον ἐσπίνης ἀμφικλάσαι. δύναται δὲ καὶ κατατάσει. τὰ δὲ ἔνθα ἢ ἔνθα ὀκλὰξ ἕδρῃ ἐκλακτίσαι· ἡ κατάτασις μὴ πάνυ, ἡ διόρθωσις τὰ πᾶσι κοινὰ ποιέουσα. μηροῦ δὲ κατάτασις μὲν ἰσχυρὴ καὶ διόρθωσις κοινὴ ἢ χερσὶν ἢ μοχλῷ, τὰ μὲν ἔσω στρογγύλῳ, τὰ δὲ ἔξω ὑποπλατεῖ, μάλιστα δὲ τὸ ἔσω καὶ τὸ ἔξω· ἀσκοὺς δὲ ὡσάμενον ἐς τὸ ὑπόξυρον τοῦ μηροῦ, κατατάσιος δὲ καὶ συνδέσιος σκελῶν, κρεμάσαι διαλείποντα μικρὸν τοὺς πόδας, ἔπειτα πλέξαντα κρεμασθῆναι καὶ ἐν τῇ διορθώσει ἅμα ἀμφότερα ποιέοντα. καὶ τῷ ἔμπροσθεν τοῦτο ἱκανὸν καὶ τοῖς

---

1 ἀνωχηθηναι 3 σφαιρωειδη 4 'f. ἀντικατατείνειν' Dtz περιρέπη 6 λεγομενον: correxi 7 ἡδια: ἰδίᾳ Dtz; exspectes κλιμάκιον 8 κλίμα και: corr. Dtz [ὅτι κλῖμαξ] seclusi δη 9 λυπων αυτοις: corr. Dtz 10 εντωλης 11 εμβληταια ἡ διορθωταια 12 δη σχηματα υπερθεωρηθησεσθαι 14 οσως κατα περι τε χειρι αγκωνος δε αγκωνος επι ενιοι προς 15 βραχιωνι 16 αποτεινομενον 18 επι τηνος μεμνηται 20 βιχη ουται (τα in ras. m. rec.) φυσιες ενεση ουται 21 κατατασιος μεν ανω 22 παλην 24 μεμνηται 25 ποιεουσεις 26 ἄμφω συνήλεγμενον 27 αμφωκλασαι ὁκααξ 28 διορθωσιος πασι 30 ὑποπλατη δη ωσαμενον τω υποξυρον 32 διαληποντα 33 διορθωση και το εμπροσθεν

ἑτέροις, ἥκιστα τῷ ἕκω. τοῦ ξύλου ὑπότασις ὥσπερ ὤμῳ ὑπὸ τὴν χεῖρα, τοῖς ἄλλοις ἧσσον. κατανάγκασις δὲ μετὰ διατάσιος, μάλιστα τὸ ἔμπροσθεν καὶ ὄπισθεν ἢ ποδὶ ἢ χειρὶ ἢ ἐφέζεσθαι ἢ τῇ σανίδι.

Τὰ μὲν οὖν παρ' Ἱπποκράτει περὶ ἄρθρων καταρτισμοῦ διασεσαφημένα καὶ διὰ τούτου μὲν καὶ διὰ τῶν πρὸ αὐτοῦ δὲ δύο βιβλίων διὰ τῶν ὑποδειγμάτων ἐμφανῆ κατεστήσαμεν. λοιπὸν δὲ ἐάν τινα τῶν κατακεχωρισμένων ἐπιζητῇς διὰ τὸ τῆς Ἱπποκράτους〈ς〉 λέξεως ἀσαφές, τῆς ἐνδεχομένης διαστολῆς τεύξεται.

---

2 ἧς εἶσιν 2 διαστασιος 4 ιπποκρατη τούτων: correxi 5 υποδιγματων εμφανει: corr. Dtz 6 ἱπποκρατους: corr. Dtz

Digitized by Google

REGISTER

I

ἐν Ἀλεξανδρείᾳ 1, 17.
Ἀριστοφάνης 6, 35.
Βακχεῖος 3, 7; ὁ B. 6, 30; Βακχεῖον 3, 23.
ὁ Δημόκριτος 6, 33.
Διοκλῆς 13, 2.
Ζωπύρῳ 1, 17; vgl. Einleitg. S. XXIV.
ὁ Ἡγήτωρ 23, 31; Ἡγήτορι 23, 14; πρὸς Ἡγήτορα 28, 14; vgl. Einleitg. Anm. 45.
Ἡροφιλείων 3, 5; Ἡροφιλείοις 23, 14.
Ἱπποκράτης 7, 6; 27, 21; ὁ Ἱ. 1, 20; 4, 29; 10, 11; 11, 17; 13, 9; 29, 7; 29, 27; Ἱπποκράτους 1, 5; 18, 15; 25, 12; 34, 6; ὑπὸ Ἱ. 24, 2; τοῦ Ἱ. 1, 14; 21, 19; ὑπὸ τ. Ἱ. 20, 7; 22, 18; 32,10; Ἱπποκράτει 24,13; παρ' Ἱπποκράτει 9, 18; 34, 4; καθ' Ἱπποκράτην 9, 27; 17, 25; 17, 29; 18, 5; 18, 10; 32, 8; 32, 11; τ. Ἱπποκρατείων λέξεων 6, 30; τ. Ἱπποκρατείους λέξεις 3, 7.
Κῷοι 7, 3.
Ῥόδιοι 6, 31 hergestellt.
Ποσειδώνιος 1, 19 Arzt, nicht sicher identificierbar.
βασιλεῦ Πτολεμαῖε 1, 4; 9, 27; 18, 4; vgl. Einleitg. S. XXIV f.

II

ἀριθμοί in der Bedeutung 'Zeilen' (στίχοι) bisher nicht belegt: μετὰ πλείονας ἀριθμούς 11, 8; μετά τινας ἀριθμούς 9, 6; 13, 14; 18, 26; 19, 9; 30, 5.
τῇ κατὰ τὴν δίκην προκειμένῃ λέξει 27, 31 (?).
εἶτ' εἰρομένως 10, 2; 27, 1 'sodann in Anreihung daran'; εἰρομένως hergestellt 32, 24.
εἶτεν 13, 13; ἔπειτεν 4, 5.
ἐπιγράφει 24, 21 'in der Beschreibung zufügen'.
ζωγραφικῆς .. σκιαγραφίας 2, 33.
τῶν ἰδιωτικῶν 24, 23; 'Laien', wohl richtig trotz ἰδιωτῶν 2, 6.
τὴν φυσικὴν καταβολήν 26, 12 'Körperbau' (?).
μεταλαμβάνειν 1, 6 'in eine neue (praktische, zeitgemäße etc.) Form bringen', vgl. Galen VIII, 932, 937 K; dagegen 9, 21 'mitgeteilt erhalten'.
δ καὶ 24, 31 'weshalb denn auch'; vgl. 1, 11.
πολυγραφῶ 26, 16; πολυγραφῶμεν 24, 3.
σαύρας 13, 6, vgl. Anm. und Aristot. p. 685^{b} 6.
ὑπαμβές 7, 6; vgl. Anm.

Formen: δυνατόν fem. 14, 17 (?); πήχεος 10, 15; ἀγηόχει 29, 28 nach Polyb. 30, 4 hergestellt; εἶπειεν 3, 10; ἐφέστακεν 2, 32; παρέστακεν 13, 14; καθεστάκαμεν 33, 9; κατεαγώς 11, 15 'gebrochen'; καταλημφθῆναι 10, 24; σημᾶναι 24, 30; Plusqpf. ohne Augment: ἐκτέθειτο 24, 30; σεσημάγκει 26, 9; 29, 7.
Syntax: nom. abs. 1, 4; οὐκ ἐπὶ μὲν γὰρ .... ἐπιγράφει ἐπὶ δὲ .... παρέπεμψεν ἂν 24, 21; vgl. Anm.

Druckfehler und Nachtrag.

S. VI, Anm. 1, Z. 2 setze: auf fol. 7^{v}—8^{v}.
S. 3, 5 setze: τὴν τινῶν.
S. 10, 8 setze: ἁπάντων.
S. 23, 13 setze: πολυθρύλητον.
S. 25, 26 vermute ich jetzt: προ⟨ς⟩κατακεχώρικεν.

Digitized by Google

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig. Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig. Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig. Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig Lichtdruck von Albert Frisch, Berlin

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google



Verlag von B. G. Teubner, Leipzig Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig. Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig. Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig. Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig. Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig. Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig. Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig. Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig. Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig. Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig. Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig. Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig. Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig Lichtdruck von Albert Frisch, Berlin

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig. Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Digitized by Google

Verlag von B. G. Teubner, Leipzig. Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Digitized by Google



Verlag von B. G. Teubner, Leipzig. Lichtdruck von Albert Frisch, Berlin.

Digitized by Google

Digitized by Google

Digitized by Google

THE UNIVERSITY OF MICHIGAN
GRADUATE LIBRARY

DATE DUE

FEB [illegible]

JAN - 8 1979

JAN 0 7 1997

Digitized by Google

UNIVERSITY OF MICHIGAN
3 9015 02762 7051

DO NOT REMOVE
OR
MUTILATE CARD

Digitized by Google


Digitized by Google